ΑΝΘΟΛΟΓΙΑ
ΔΕΥΤΕΡΑ

SIVE

Poëmatum Græcorum minorum

DELECTUS

IN USUM

Scholæ Regiæ WESTMONASTERIENSIS.

Editio altera, aucta & emendata.

LONDINI:

Sumptibus GULIELMI GINGER, ad Insignia Collegii *Westmonasterienſis* juxta Scholam Regiam.

MDCCLXIX.

30
65
OCT

ΑΝΘΟΛΟΓΙΑ ΔΕΥΤΕΡΑ.

Ἐκ τῶν περὶ ἔργων καὶ ἡμερῶν βιβλίου πρώτου

ΗΣΙΟΔΟΥ.

Ὡς ὁμόθεν γεγάασι θεοὶ θνητοί τ' ἄνθρωποι,
Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
Ἀθάνατοι ποίησαν, ὀλύμπια δώματ' ἔχοντες.
Οἱ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν·
Ὡς τε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
Νόσφιν ἄτερ τε πόνων καὶ οἰζύος. οὐδέ τι δειλὸν
Γῆρας ἐπῆν· αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
Τέρποντ' ἐν θαλίῃσι, κακῶν ἔκτοσθεν ἁπάντων.
Θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι· ἐσθλὰ δὲ πάντα
Τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα
Αὐτομάτη πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοὶ
Ἥσυχοι ἔργα νέμοντο, σὺν ἐσθλοῖσιν πολέεσσιν.
Αὐτὰρ ἐπεί κεν τοῦτο γένος καλὰ γαῖα κάλυψεν,
Τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλὰς,
Ἐσθλοὶ, ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων·
Οἵ ῥα φυλάσσουσί τε δίκας καὶ σχέτλια ἔργα,
Ἠέρα εἰσάμενοι, πάντη φοιτῶντες ἐπ' αἶαν,
Πλουτοδόται. καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.

Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
Ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες,
Χρυσέῳ ἄτε φυλὴ ἐναλίγκιον ἄτε νόημα.
Ἀλλ' ἑκατὸν μὲ παῖς ἔτεα πρὸς μητέρι κεδνῇ
Ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ
Ἀλλ' ὅταν ἡβήσειε, καὶ ἥβης μέτρον ἵκοιτο
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες
Ἀφραδίας· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
Ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
Ἤθελον, οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
Ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲ ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε, χολώμενος ὅνεκα τιμὰς
Οὐκ ἐδίδυν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος καλὰ γαῖα κάλυψε,
Τοὶ μὲ ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
Δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.
Ζεὺς πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων
Χάλκειον ποίησε, οὐκ ἀργυρῷ οὐδὲν ὁμοῖον,
Ἐκ μελιᾶν, δεινόν τε καὶ ὄμβριμον· οἷσιν Ἄρηος
Ἔργ' ἔμελε σονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
Ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμὸν,
Ἄπλαστοι· μεγάλη πὴ βίη καὶ χεῖρες ἄαπτοι
Ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖς μελέεσσιν.
Τοῖς δ' ἦν χάλκεα μὲ τεύχεα, χάλκεοι δέ τε οἶκοι,
Χαλκῷ δ' ἐργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.

Καί

Καί τοι μὶ χείρεσιν ὑπὸ σφετέρῃσι δαμέντες
Βῆσαν ἐς εὐρώεντα δόμον κρυερῦ ἀΐδαο,
Νώνυμοι· θάνατον δὲ ἐκπάγλως περ ἐόντας
Εἶλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.
Αὐτὰρ ἐπεὶ δὲ τῦτο γένος καλὰ γαῖα κάλυψε,
Αὖθις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πυλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε δικαιότερον καὶ ἄρειον,
Ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
Ἡμίθεοι, πρoτέρῃ γενεῇ, κατ' ἀπείρονα γαῖαν.
Καὶ τὺς μὶ πόλεμός τε κακὸς δὲ φύλοπις αἰνὴ,
Τὺς μὶ ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
Ὤλεσε μαρναμένυς μήλων ἕνεκ' Οἰδιπόδαο·
Τὺς δὲ ἐν νήεσσιν ὑπὲρ μεγὰ λαῖτμα θαλάσσης
Ἐς Τροίην ἀγαγὼν, Ἑλένης ἕνεκ' ἠϋκόμοιο·
Ἔνθ' ἤτοι τὺς μὶ θανάτυ τέλος ἀμφεκάλυψε·
Τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον δὲ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατέναυσε πατὴρ ἐς πείρατα γαίης.
Καὶ τοὶ μὶ ναίυσιν ἀκηδέα θυμὸν ἔχοντες
Ἐν μακάρων νήσοισι, παρ' Ὠκεανὸν βαθυδίνην,
Ὄλβιοι ἥρωες· τοῖσιν μελιηδέα καρπὸν
Τρὶς ἔτυς θάλλοντα φέρει ζείδωρος ἄρυρα.
Μηκέτ' ἔπειτ' ὤφελον ἐγὼ πέμπτοισι μετεῖναι
Ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν, ἢ ἔπειτα γενέσθαι.
Νῦν γὰρ δὴ γένος ἐσὶ σιδήρεον· ὐδέ ποτ' ἦμαρ
Παύσονται καμάτυ δὲ ὀϊζύος, ὐδέ τι νύκτωρ,

Φθειρόμενοι· χαλεπὰς ὃ θεοὶ δώσουσι μερίμνας.
Ἀλλ' ἔμπης ℭ τοῖσι μεμίξε) ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει κ) τῦτο γέν@ μερόπων ἀνθρώπων,
Εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.
Οὐδὲ πατὴρ παίδεσσιν ὁμοίι@, οὐδέ τι παῖδες,
Οὐδὲ ξεῖν@ ξεινοδόκῳ, ℭ ἑταῖρ@ ἑταίρῳ,
Οὐδὲ κασίγνητ@ φίλ@ ἔσσε), ὡς τὸ πάρ@ περ·
Αἶψα ὃ γηράσκοντας ἀτιμήσουσι τοκῆας.
Μέμψον) δ' ἄρα τὺς χαλεποῖς βάζοντ' ἐπέεσσι
Σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδὲ μὰ οἵγε
Γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν,
Χειροδίκαι· ἕτερ@ δ' ἑτέρ@ πόλιν ἐξαλαπάξει·
Οὐδέ τις εὐόρκ@ χάρις ἔσσε), οὔτε δικαίῳ,
Οὔτ' ἀγαθῷ· μᾶλλον ὃ κακῶν ῥεκτῆρα ℭ ὕβριν
Ἀνέρα τιμήσουσι. δίκη δ' ἐν χερσὶ κ) αἰδὼς
Οὐκ ἔσται. βλάψει δ' ὁ κακὸς τ' ἀρείονα φῶτα,
Μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
Ζῆλ@ δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν,
Δυσκέλαδ@, κακόχαρτ@, ὁμαρτήσει συγερώπης.
Καὶ τότε δὴ πρὸς ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης,
Λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλὸν,
Ἀθανάτων μὲ φῖλον ἴτον, προλιπόντ' ἀνθρώπους,
Αἰδὼς κ) Νέμεσις. τὰ δ' ὃ λείψε) ἄλγεα λυγρὰ
Θνητοῖς ἀνθρώποισι. κακῆ δ' οὐκ ἔσσε) ἀλκή.

ΘΕΟΚΡΙ-

ΘΕΟΚΡΙΤΟΥ

ΘΥΡΣΙΣ, ἢ ΩΔΗ,

Εἰδύλλιον ά.

ΘΥΡΣΙΣ, ΠΟΙΜΗΝ, καὶ ΑΙΠΟΛΟΣ.

ΑΔΥ τι τὸ ψιθύρισμα; ἀ πίτυς, αἰπόλε, τήνα,
Ἃ ποτὶ τ' ποταγαῖσι μελίσδε)· ἀδὺ ὂ τὺ
Συρίσδες. μᾶ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῃ.
Αἶκα τῆν ἔλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
Αἶκα δ' αἶγα λάβῃ τῆν γέρας, ἐς τε καταῤῥεῖ
Ἃ χίμαρος· χιμάρῳ ὂ καλὸν κρῆς, ἐς τε κ' ἀμέλξῃς.
Α. Ἄδιον, ὦ ποιμὰν, τὸ τεὸν μέλος, ἢ τὸ καταχὲς
Τᾶς ὑπὸ τᾶς πέτρας καταλείβε) ὑψόθεν ὕδωρ.
Αἶκα ταὶ Μῶσαι τὰν οἰΐδα δῶρον ἄγωνται),
Ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἱ δέ κ' ἀρέσκῃ
Τήναις ἄρνα λαβεῖν, τὺ ὂ τὰν ὄϊν ὕστερον ἀξεῖς.
Θ. Λῆς ποτὶ τᾶν νυμφᾶν, λῆς, αἰπόλε, τᾶδε καθίξας,
Ὡς τὸ κάταντες τῦτο γεώλοφον, ἄτε μυρῖκαι,
Συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομεύσω.
Α. Οὐ θέμις, ὦ ποιμὰν, τὸ μεσαμβρινὸν, ἀ θέμις ἄμμιν
Συρίσδεν· τ' Πᾶνα δεδοίκαμες. ἢ γὰρ ἀπ' ἄγρας
Τανίκα κεκμακὼς ἀμπαύε)· ἐντί γε πικρὸς,

Καί οἱ ἀεὶ δρμεῖα χολὰ ποτὶ ῥινὶ κάθη᾽).
Ἀλλὰ (τὺ γὰρ δὴ, Θύρσι, τὰ Δάφνιδος ἄλγεα εἰδές,
Καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο Μώσας,)
Δεῦρ᾽ ὑπὸ τὰν πελέαν ἐσδώμεθα, τῶ τε Πριήπω
Καὶ τᾶν κραναίδαν κατεναντίον, ἆπερ ὁ θῶκος
Τῆνος ὁ ποιμενικὸς χὰ ταὶ δρύες. αἰ δέ κ᾽ ἀείσῃς,
Ὡς ποκα τ᾽ Λυδύαθε ποτὶ Χρόμιν ἆσας ἐρίσδων,
Αἶγά τέ τοι δωσῶ διδυματόκον ἐς τρὶς ἀμέλξαι,
Ἃ δὺ᾽ ἔχοισ᾽ ἐρίφως, ποταμέλξει᾽) ἐς δύο πέλλας·
Καὶ βαθὺ κισύβιον κεκλυσμένον ἀδεῖ καρῶ,
Ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο πολόσδον.
Τῶ περὶ μὲ χείλη μαρύει᾽) ὑψόθι κισὸς,
Κισὸς ἑλιχρύσῳ κεκονισμένος· ἀΐ᾽ κατ᾽ αὐτὸν
Καρπῶ ἕλιξ εἰλεῖται ἀγαλλομένα κροκόεντι.
Ἔντοθεν ᾖ γυνὰ τὶ θεῶν δαίδαλμα, τέτυκ᾽),
Ἀσκητὰ πέπλῳ τε χὰ ἄμπυκι· πὰρ δέ οἱ, ἄνδρες
Καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
Νεικείοσ᾽ ἐπέεσσι· τὰ δ᾽ ἀ φρενὸς ἄπλετα αὐτᾶς.
Ἄλλοκα μὲ τῆνον ποτιδέρκε᾽) ἄνδρα γελεῦσα,
Ἄλλοκα δ᾽ αὖ ποτὶ τ᾽ ῥιπεῖ νόον. οἱ δ᾽ ὑπ᾽ ἔρωτος
Δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
Τοῖς ᾖ μέτα, γριπεύς τε γέρων, πέτρα τε τέτυκ᾽)
Λέπρας, ἐφ᾽ ᾇ πευδων, μέγα δίκτυον ἐς βόλον ἕλκει
Ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς.
Φαίης κεν γέρων νὶν ὅσον θέος ἐλλοπιεύειν·

Αἱ

Αἱ δέ οἱ ὠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες,
Καὶ πολιῷ περ ἐόντι· τό γ' ἀθέν ἄξιον ἄβας.
Τυτθὸν δ' ὅσσον ἄπωθεν ἀλιτρύτοιο γέροντος,
Πυρναίαις σαφυλαῖσι καλὸν βέβριθεν ἀλωά.
Τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
Ἥμυος· ἀμφὶ δέ μιν δύ' ἀλώπεκες ἄμμι, ἀν' ὄρχως
Φοιτᾷ, σινομύα τὰν ἀρώξιμον· ἁ δ', ἐπὶ πήραν
Πάντα δόλον τεύχοισα, τὸ παιδίον ὤ πρὶν ἀνήσειν
Φατὶ πρὶν ἢ ἀκράτισον ἐπὶ ξηροῖσι καθίζοι.
Αὐτὰρ ὁγ' ἀνθερίκεσσι καλὰν πλέκει ἀκμοθήραν,
Σχοίνῳ ἐφαρμόσδων· μέλε δέ οἱ ἔτέ τι πήρης,
Οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
Πανᾷ δ' ἀμφὶ δέπας πεπέπλα ὑγρὸς ἄκανθος,
Αἰπολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι.
Τᾷ μ', ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγα τ' ἔδωκα
Ὦνον, ἢ τυρόεντα μέγαν λοῦκοῖο γάλακτος.
Οὐδέτι πω ποτὶ χεῖλος ἐμὸν θίγω, ἀλλ' ἔτι κεῖται
Ἄχραντον· τῷ κέν τυ μᾶλα πρόφρων δρεσαίμαν,
Αἰκέν μοι τὺ φίλος τ' ἐφίμερον ὕμνον ἀείσῃς.
Κἤ τοι τι φθονέω· πόταγ', ὦ γαθέ· τὰν γὰρ ἀοιδὰν
Οὔτί πω εἰς Ἀΐδαν γε τ' ἐκλελάθονται φυλαξεῖς.

Θ. Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὡξ Αἴτνας, καὶ Θύρσιδος ἅδ' ἁ φωνά.
Πᾶ ποκ' ἄρ' ἦθ' ὅκα Δάφνις ἐτάκετο; πᾶ ποκα νύμφαι;

Ἢ καλὰ Πιερίων καλὰ τέμπεα; ἢ καλὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμοῖο μέγαν ῥόον εἴχετ' Ἀνάπω,
Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ἀκιδος ἱερὸν ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τίων μὲν θῶες, τίων λύκοι ὠρύσαντο,
Τίων χὠ 'κ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαί οἱ παὶρ ποσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὖ δαμάλαι Ϲ πόρτιες ὠδύραντο.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθ' Ἑρμᾶς πρᾴτιστος ἀπ' ὄρεος· εἶπε δ', Δάφνι,
Τίς τυ καλαπεύχει; τίνος, ὦ γαθὲ, τόσσον ἔρασσαι;
Ἄρχε[ε] βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ὠπόλοι ἦνθον·
Πάντες ἀνηρώτευν τί πάθοι κακόν. ἦνθ' ὁ Πρίαπος,
Κἤφα, Δάφνι τάλαν, τί τὺ τάκεαι; αἱ δέ τε κῶραι
Πᾶσαν ἀνὰ κράναν, πάντ' ἄλσεα ποσσὶ φορεῖται
(Ἄρχε[ε] βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχε[ε]' ἀοιδᾶς)
Ζαπυῖσ'. ἆ δύσερώς τις ἄγαν Ϲ ἀμήχανος ἐσσί.
Τὼς δ' ὐδὲν ποτιλέξαθ' ὁ βωκόλος· ἀλλὰ τ' αὐτῶ
Ἄνυε πικρὸν ἔρωτα, χ' ἐς τέλος ἄνυε μοίρας.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθέ γε μὰν αἰδεῖα Ϲ ἀ Κύπρις γελάοισα,
Λάθρη μὲ γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα·
Κἤπε, Τὺ θὴν τ' ἔρωτα κατεύχεο, Δάφνι, λυγιξεῖν·

Ἄρ'

Ἆρ' ὄφι αὐτὸς ἔρως ὑπὸ κραγαλέῳ ἐλυγίχθης;
Ἄρχελε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τάνδ' ἄρα χὠ Δάφνις ποταμείψαλο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσαλέα, Κύπρι θνατοῖσιν ἀπεχθής.
Ἤδη γὰρ φράσδει πάνθ' ἅλιος ἄμμι· δεδύκει
Δάφνις, κεἰν ἀΐδᾳ κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχελε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Οὗ λέγεται τὰν Κύπριν ὁ βωκόλος, ἕρπε ποτ' Ἴδαν,
Ἕρπε ποτ' Ἀγχίσαν· τίνει δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ἄρχελε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὡραῖος χ' ὡ Ἄδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πλῶνας βάλλει, καὶ θηρία τἄλλα διώκει.
Ἄρχελε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Αὔτις ὅπως φάσῃ Διομήδεος ἆσσον ἰοῦσα,
Καὶ λέγε, Τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
Ἄρχελε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν' ὤρεα φωλάδες ἄρκοι,
Χαίρετ'· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις ἔκετ' ἀν' ὕλαν,
Οὐκέτ' ἀνὰ δρυμώς, οὐκ ἄλσεα. χαῖρ' Ἀρέθοισα,
Καὶ ποταμοί, τοὶ κεῖτε καλὸν κατὰ θύμβριδος ὕδωρ.
Ἄρχελε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
Ἄρχελε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.

Ὦ Πὰν Πὰν, εἴτ' ἐσὶ κατ' ὄρεα μακρὰ Λυκαίυ,
Εἴτε τύγ' ἀμφιπολεῖς μέγα Μαίναλον· ἔνθ' ἐπὶ νᾶσον
Τὰν Σικελὰν, Ἑλίκας ᾗ λίπε ῥίον, αἰπύ τε σᾶμα
Γᾶνα Λυκαονίδαο, τὸ κ' μακάρεσσιν ἀγαςόν.

Λήγελε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Ἔνθ' ὤναξ, κ' τάνδε φέρ' εὐπάκλοιο μελίπνυν
Ἐκ κηρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικλάν.
Ἦ γὰρ ἐγὼν ὑπ' ἔρωλος ἐς ᾄδαν ἔλκομαι ἤδη.

Λήγελε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Νῦν ἴα μὶ φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι·
Ἃ ᾗ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
Πάντα δ' ἔναλλα γένοιτο, κ' ἀ πῖτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει· κ' τὼς κύνας ὤλαφος ἔλκοι,
Κἠξ ὀρέων τοὶ σκῶπες ἀηδόσι γαρύσαιντο.

Λήγελε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Χὠ μὶ, τόσ' εἰπὼν ἀπεπαύσατο· τ' δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν. χὠ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα
Τὸν Μώσαις φίλον ἄνδρα, τ' ὐ νύμφαισιν ἀπεχθῆ.

Λήγελε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Καὶ τὺ δίδυ τὰν αἶγα, τό τε σκύφος, ὥς μιν ἀμέλξας,
Σπείσω τ Μοίσαις. ὦ χαίρετε πολλάκι, Μοῖσαι,
Χαίρετ'· ἐγὼ δ' ὔμμιν κ' ἐς ὕσερον ἄδιον ἀσῶ.

Πλᾶρές τοι μέλιτος τὸ καλὸν ςόμα, Θύρσι, γένοιτο,
Πλᾶρες ᾗ καδάνων· κ' ἀπ' Αἰγίλω ἰχάδα πρώγοις
Ἀδεῖαν.

Ἀδεῖαν. τέτλιγι ἐπεὶ τύγε φέρτερον ἄδεις.
Ἠνὶ δέ τοι τὸ δέπας· θᾶσαι φίλε· ὡς καλὸν ἔσδει·
Ὡρᾶν πεπλύθαί νιν ἐπὶ κράναισι δοκασεῖς.
Ὤδ' ἴθι Κισσαίθα· τύ δ' ἄμελγέ νιν. αἱ δ' χίμαιραι
Οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὔμμιν ἀναξῇ.

Τῦ αὐτῦ

ΚΗΡΙΟΚΛΕΠΤΗΣ,

Εἰδύλλιον ιθ'.

ΤΟΝ κλέπταν ποτ' Ἔρωτα κακὰ κέντασε μέλισσα,
Κηρίον ἐκ σίμβλων συλεύμενον. ἄκρα δ' χειρῶν
Δάκτυλα πάνθ' ὑπένυξεν. ὀδ' ἄλγεε, κ χέρ' ἐφύσα·
Καὶ τὰν γᾶν ἐπάταξε, κ ἄλατο. τᾷδ' Ἀφροδίτᾳ
Δεῖξεν τὰν ὀδύναν, κ μέμφετο ὅτλιγε τυτθὸν
Θηρίον ἐντὶ μέλισσα, κ ἀλίκα τραύματα ποιεῖ;
Χᾷ μάτηρ γελάσασα, Τὺ δ' ἐκ ἴσος ἐσσὶ μελίσσαις;
Χὠ τυτθὸς μὶ ἔης, τὰ δ' τραύματα ἀλίκα ποιεῖς;

Τῦ αὐτῦ

ΒΟΥΚΟΛΙΑΣΤΑΙ,

Εἰδύλλιον ς'.

ΔΑΜΟΙΤΑΣ καὶ ΔΑΦΝΙΣ.

ΔΑΜΟΙΤΑΣ κ Δάφνις ὁ βωκόλος εἰς ἕνα χῶρον
Τὰν ἀγέλαν ποκ' Ἄραξε συνάγαγον· ἦς δ' ὁ μὶ αὐτῶν

Πυῤῥὸς,

Πυῤῥὸς, ὁ δ' ἡμιγένειος. ἐπὶ κράναν δέ τιν' ἄμφω
Ἐσδόμβοι θέρεος μέσῳ ἄμαλι τοιάδ' ἄειδον.
Πρῶτος δ' ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρῶτος ἐρίσδεν.
Δαφ. Βάλλει τοι, Πολύφαμε, τὸ ποίμνιον ἁ Γαλάτεια
Μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
Καὶ τύνιν ὑ ποθορῆδα τάλαν, τάλαν, ἀλλ' ἀ κάθησαι
Ἀδέα συρίσδων. πάλιν ἄδ', (ἴδε) τὰν κύνα βάλλει
Ἄ τοι τᾶν οἰῶν ἔπε) σκοπός· ἁ δ' βαΰσδει
Εἰς ἄλα δερκομένα. τὰ δέ νιν καλὰ κύματα φαίνει
Ἄσυχα καχλάζοντα, ἐπ' αἰγιαλοῖο θέοισαν.
Φράζεο μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρέσσῃ
Ἐξ ἁλὸς ἐρχομένας, κ' δ' χρόα καλὸν ἀμύξῃ.
Ἄ δ' καὶ αὐτόθι τοι Ἀλαθρύπτε), ὡς ἀπ' ἀκάνθας
Ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἀνίκα φρύπτει·
Καὶ φεύγει φιλέοντα, καὶ ὐ φιλέοντα διώκει.
Καὶ τ' ἀπὸ γραμμᾶς κινεῖ λίθον. ἦ γὰρ ἔρωτι
Πολλάκις, ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανε).
Τῷ δ' ἔπι Δαμοίτας ἀνεβάλλετο, καὶ τάδ' ἄειδεν,
Δαμ. Εἶδον ναὶ τ Πᾶνα τὸ ποίμνιον ἀνίκ' ἔβαλλε,
Κὄμ' ἔλαθ', ὐ τ ἐμὸν τ ἕνα γλυκὺν, ᾧ ποθόρημι
Ἐς τέλος. αὐταὰρ ὁ μάντις ὁ Τήλεμος ἔχθρ' ἀγορεύων,
Ἐχθρὰ φέροι ποτὶ οἶκον, ὅπως τεκέεσσι φυλάξῃ.
Ἀλλὰ Ϲ αὐτὸς ἐγὼ κνίσδων πάλιν, ὐ ποθόρημι,
Ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἁ δ' ἀΐοισα,
Ζαλοῖ μ', ὦ Παιάν, Ϲ τάκε)· ἐκ δ' θαλάσσας

Οἰσρεῖ παπταίνοισα ποτ' ἄνδρά τε ἢ ποτὶ ποίμνας
Σῦγα δ' ὑλακτεῖν νιν ἐπᾷ κυνί· ἢ γὰρ ὄκ' ἤρων
Αὐτᾶς, ἐκνυζᾶτο ποτ' ἰχία ῥύγχῳ ἔχοισα.
Ταῦτά δ' ἴσως ἐσορῶσα ποιεῦνά με πολλάκι, πεμψεῖ
Ἄγγελον. αὐτὰρ ἐγὼ κλασῶ θύρας, ἔσε κ' ὀμόσσῃ
Αὐτά μοι σορέσειν καλὰ δέμνια τᾶς δ' ἐπὶ νάσω.
Καὶ γὰρ θεὼ ὐδ' εἶδον ἔχω κακὸν, ὥς με λέγουσι.
Ἦ γὰρ πρὰν ἐς πόντον ἐσέβλεπον, ἦς ἦ γαλάνα·
Καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δ' ἐμὶν ἁ μία κώρα,
(Ὡς παρ' ἐμὶν κέκριτ'), καλεφαίνετο· τῶν δέ τ' ὀδόντων
Λευκοτέραν αὐγὰν παρίας ὑπέφαινε λίθοιο.
Ὡς μὴ βασκανθῶ ἦ, τεὶς εἰς ἐμὸν ἔπνυσα κόλπον.
Ταῦτα γὰρ ἁ γραία με Κοτυττοῖς ἐξεδίδαξεν,
Ἃ πρὰν ἁμὼς ἔσσι παρ' Ἱπποκόοντι ποταύλει.
Τόσσ' εἰπὼν τ' Δάφνιν ὁ Δαμοίτας ἐφίλασε·
Χὠ μὲν τῷ σύριγγ', ὁ δ' τῷ καλὸν αὐλὸν ἔδωκεν.
Αὔλει Δαμοίτας, σύριττε δ' Δάφνις ὁ βώτας·
Ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ.
Νίκα μὰν ὐδ' ἄλλῳ, ἀνάσσατοι δ' ἐγένοντο.

Τᾶ αὐτᾶ

Η Λ Α Κ Α Τ Α,

Εἰδύλλιον κή.

ΓΑΛΑΤΚΑΣ, ὦ φιλέρι θ' ἁλικάτα, δῶρον Ἀθανάας,
Γυναιξὶ νόῳ οἰκωφελέεσσι σὸς ἐπήβολος·

Θαρσεῦσ'

Θαρσεῦσ' ἄμμιν ὁμάρτει πόλιν ἐς Νείλεω ἀγλαάν,
Ὄππα Κύπριδος ἱρὸν καλάμῳ χλωρὸν ὑφ' ἁπαλῷ.
Τῇδε γὰρ πλόον εὐάνεμον αἰτεύμεθα πὰρ Διός,
Ὄππως ξεῖνον ἐμὸν τέρψομ' ἰδὼν κἀντιφιλήσομαι
Νικίαν, Χαρίτων ἱμεροφώνων ἱερὸν φυτόν.
Καί σε τὰν ἐλέφανθος πολυμόχθω γεγλυμμέναν,
Δῶρον Νικίεας εἰς ἁλόχω χέρρας ὑπάσσομαι.
Σὺν τᾷ πολλὰ μὲ ἔργ' ἐκτελέσεις ἀνδρείοις πέπλοις,
Πολλὰ δ' οἷα γυναῖκες φορέοισ' ὑδάτινα βράκη.
Διὸς γὰρ ματέρες χρυσῶν μαλακᾶς ἐν βοτάνᾳ πόκας
Πέξαντ' αὐτοετεὶ, Θευγενίδος γ' ἕνεκ' εὐσφύρω.
Οὕτως ἀνυσιεργὸς, φιλέει δ' ὅσσα σαόφρονες.
Οὐ γὰρ εἰς ἀκιρὰς ὁδ' ἐς ἀεργὼς μὲ ἐβαλλόμαν
Ὀππάσαι σὲ δόμως, ἀμελέρας εὖσαν ἀπὸ χθονός.
Καὶ γάρ σοι πάλις ἀν ὠ Ἐφύρας κλίσε ποτ' Ἀρχίας,
Νάσω Τρινακρίας μυελὸν, ἀνδρῶν δοκίμων πόλιν.
Νῦν μὰν οἶκον ἔχυσ' ἀνὴρ ὅς πόλλ' ἐδάη σοφὰ
Ἀνθρώποισι νόσυς φάρμακα λυγρὰς ἀπαλαλκέμεν,
Οἰκήσεις κ' Μίλατον ἐργανὰν μετ' Ἰαόνων,
Ὡς εὐαλάκατος Θευγενὶς ἐν δαμότισιν πέλῃ,
Καί οἱ μνᾶσιν ἀεὶ τῶ φιλαοιδῶ παρέχῃς ξένω.
Κεῖνο γάρ τις ἐρείτω, ποτιδών σ', ἦ μεγάλα χάρις
Δώρῳ ξὺν ὀλίγῳ· πάντα γὰ τιμᾶντα τὰ πὰρ φίλων.

ΑΙΠΟΛΟΣ,

ΑΙΠΟΛΟΣ, Η ΑΜΑΡΥΛΛΙΣ,

Εἰδύλλιον γ'.

ΚΩΜΑΣΔΩ ποτὶ τὰν Ἀμαρυλλίδα. ταὶ δέ μοι αἶγες
Βόσκον᾽ κατ᾽ ὄρος, ὁ Τίτυρος αὐτὰς ἐλαύνει.
Τίτυρ᾽ ἐρεῖν τὸ καλὸν πεφιλαμένε, βόσκε τὰς αἶγας,
Καὶ ποτὶ τὰν κράναν ἄγε, Τίτυρε· τὸν ἐνόρχαν
Τὸν Λιξυκὸν κνάκωνα φυλάσσεο, μὴ τὺ κορύψῃ.
Ὦ χαρίεσσ᾽ Ἀμαρυλλί, τί μ᾽ ἐκέτι τῆτο κατ᾽ ἄνδρον
Παρκύπτοισα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
Ἦ ῥά γέ τοι σιμὸς καὶ φαίνομαι ἐγγύθεν ἁμῦ,
Νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποιησεῖς.
Ἠνὶ δέ τοι δέκα μᾶλα φέρω. τηνῶθε καθεῖλον,
Ὥ μ᾽ ἐκέλευ καθελεῖν τύ. καὶ αὔριον ἄλλα τοι οἰσῶ.
Θᾶσσα μὰν θυμαλγὲς ἐμὸν ἄχος. αἴθε ψοίμαν
Ἃ βομβεῦσα μέλισσα, καὶ ἐς τεὸν ἄνδρον ἰκοίμαν
Τὸν κισσὸν διαδύς, καὶ τὰν πέρμν ἃ τὺ πυκάσδῃ.
Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεός· ἦ ῥα λεαίνας
Μασσὸν ἐθήλαζε, δρυμῷ τέ μιν ἔτρεφε μάτηρ·
Ὅς με καταιμύχων καὶ ἐς ὀστέον ἄχρις ἰάπτει.
Ὦ τὸ καλὸν ποθορῶσα· τὸ πᾶν, λίθος· ὦ κυάνοφρυ
Νύμφα, πρόσπυξαί με τ᾽ αἰπόλον, ὡς τὺ φιλάσω.
Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

Τὸν ςέφανον τίλαί με καλαυτίκα λεπτὰ ποιησεῖς,
Τόν τοι ἐγὼν, Ἀμαρυλλὶ φίλα, κιονοῖο φυλάσσω
Ἐμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.
Ὤ μοι ἐγὼ, τί πάθω, τί ὁ δύστος ; ἦ χ ὑπακύεις ;
Τὰν βαίταν ἀποδὺς, εἰς κύμαλα τῆνα ἁλεῦμαι,
Ὥπερ τὼς θύννως σκοπιάζε) Ὄλπις ὁ γραπεύς.
Κἤκα μὰ ποθάνω, τό γε μὰν τεὸν ἀδὺ τέτυκ).
Ἔγνων ποθὰν, ὅκά μευ μεμναμένω εἰ φιλέεις με,
Οὐδὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα,
Ἀλλ αὔτως ἀπαλῷ ποτὶ πάχει ἐξεμαράνθη.
Εἶπε καὶ Ἀγροιὼ ταλαθέα κοσκινόμαντις,
Ἃ ποθὰν ποιολογεῦσα παραιβάτις, ἕνεκ ἐγὼ μὶν
Τὶν ὅλον ἔγκειμαι, τὺ δέ μευ λόγον οὐδένα ποιῇ.
Ἠμάν τοι λευκὰν διδυματόκον αἶγα φύλασσω,
Τάν με καὶ ἁ Μέρμνων Ἐριθακὶς ἁ μελανόχρως
Αἰτεῖ· καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
Ἄλλε) ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ ἰδησῶ
Αὐτάν ; ἀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ ἀποκλινθείς·
Καί κέ μ ἴσως ποτίδοι· ἐπεὶ σὸκ ἀδαμαντίνα ἐντί.
Ἱππομένης ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
Μᾶλ ἐνὶ χερσὶν ἐλὼν, δρόμον ἄνυεν· ἁ δ Ἀταλάντα
Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἄλλετ ἔρωτα.
Τὰν ἀγέλαν χὠ μάντις ἀπ Ὄθρυος ἆγε Μελάμπους
Ἐς Πύλον· ἁ δ Βίαν ἐν ἀγκοίνησιν ἐκλίνθη
Μάτηρ ἁ χαρίεσσα περίφρον Ἀλφεσιβοίας.
Τὰν δ καλὰν Κυθέρειαν ἐν ὄρεσι μᾶλα νομεύων

Οὐχ

Οὐκ ἔτως ὠ Ἄδωνις ἐπὶ πλέον ἄγαγε λύσας·
Ὡς ὐδὲ φθίμενόν μιν ἄτερ μασδοῖο τίθητι.
Ζαλωτὸς μὲ ἐμὶν ὁ τ' ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων, ζαλῶ ϗ φίλα γύναι Ἰασίωνα,
Ὅς τόσων ἐκύρησεν ὅσ' ὐ πευσεῖδε βέβαλοι.
Ἀλγέω ταὶ κεφαλάν· τὶν δ' ὐ μέλει. ὐκέτ' ἀείδω,
Κεισεῦμαι ϗ πεσών, Ϲ τοὶ λύκοι ὧδέ μ' ἔδοντι·
Ὡς μέλι τοι γλυκὺ τῦτο χ τ βρόχθοιο γένοιτο.

ΒΟΥΚΟΛΙΑΣΤΑΙ,

Εἰδύλλιον ή.

ΔΑΦΝΙΣ καὶ ΜΕΝΑΛΚΑΣ καὶ ΑΙΠΟΛΟΣ.

ΔΑΦΝΙΔΙ τῷ χαρίεντι συνήντεμο βυκολέοντι
Μᾶλα νέμων, ὡς φαντὶ, κατ' ὤρεα μακρὰ Μενάλκας.
Ἄμφω τώγ' ἤτλιω πυῤῥοτρίχω, ἄμφω ἀνάβω,
Ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν
Πρᾶτος δ' ὧν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας.
Μ. Μυκητᾶν ἐπίυρε βοῶν Δάφνι, λῆς μοι ἀεῖσαι;
Φαμὶ τὺ νικασεῖν ὅσον θέλω αὐτὸς ἀείδων.
Τὸν δ' ἄρα χὠ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ.
Δ. Ποιμὰν εἰροπόκων οἰῶν συρικτὰ Μενάλκα,
Οὔποτε νικασεῖς μ', ὐδ' εἰτι πάθοις τύ γ' ἀείδων.
Μ. Χρήσδεις δ' ὧν ἐσιδεῖν; χρήσδεις καζαθεῖναι ἄεθλον;
Δ. Χρήσδω τῦτ' ἐσιδεῖν, χρήσδω καζαθεῖναι ἄεθλον.

 Μ. Ἀλλὰ

Μ. Ἀλλὰ τί θησεύμεθ' ὅ κεν ἀμῖν ἄρκιον εἴη;
Δ. Μόχον ἐγὼ θησῶ, τὺ δ' ἦς γ' ἰσομάτορα ἀμνόν.
Μ. Οὐ θησῶ τόκα ἀμνόν· ἐπεὶ χαλεπός θ' ὁ πατήρ μευ,
Χ' ἁ μάτηρ· τὰ δ' μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦνλι.
Δ. Ἀλλὰ τί μὰν θησεῖς; τί δ' τὸ πλέον ἔξει ὁ νικῶν;
Μ. Σύρλγ' ἂν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν·
Ταύτιν κατθείλω· τὰ δ τῶ πατρὸς ἀ καταθησῶ.
Δ. Ἦ μάν τοι κἠγὼ σύρλγ' ἔχω ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν.
Πρώαν νιν συνέπαξ· ἔτι τὸν δάκλυλον ἀλγῶ
Τῦτον, ἐπεὶ κάλαμός με Δαρχιθεὶς διέτμαξεν.
Ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσε ἀμῶν;
Μ. Τῆνόν πως ἐνταῦθα τ' αἰπόλον ἢν καλέσωμες,
Ὃ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φάλαρος ὑλακτεῖ.
Χ' οἱ μὲ παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἤνθ' ἐπακῦσαι·
Χ' οἱ μὲ παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρῖναι.
Πρᾶτος δ' ὧν ἄειδε λαχὼν ἰῦκτὰ Μενάλκας·
Εἶτα δ' ἀμοιβαίην ὑπελάμβανε Δάφνις ἀοιδὰν
Βωκολικάν· ἔτω ᾧ Μενάλκας ἄρξατο πρᾶτος.
Μ. Ἄγχεα τοταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
Πῆ ποχ' ὁ συρικλὰς προσφιλὲς ἆσε μέλος,
Βόσκοντ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἦν δέ ποκ' ἐνθὴ
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλαττον ἔχοι.
Δ. Κρᾶναι τοβοτάναι, γλυκερὸν φυτόν, αἴπερ ὁμοῖον

Μυσίσδοι

Μεσίσδοι Δάφνις ταῖσιν ἀηδονίσι,
Τῆτο τὸ βεκόλιον πιαίνετε· κἤν τι Μενάλκας
Τῆδ' ἀγάγοι, χαίρων ἄφθονα πάντα νέμοι.
Μ. Παντᾶ ἔαρ, πάντᾶ ϝ νομοὶ, πάντᾶ ϝ γάλακ]ος
Οὔθαζ' πλήθυσιν, ϵ τὰ νέα τρέφε ϝ],
Ἔνθ' ἁ καλὰ παῖς ϑπνίστε ϝ]· αἰ δ' ἂν ἀφέρπῃ,
Χὠ ποιμὰν ξηρὸς τηνόθι, χ' αἱ βοτάναι.
Δ. Ἔνθ' ὄϊς, ἔνθ' αἶγες δισυματόκοι, ἔνθα μέλισσαι
Σμάνεα πληροῦσιν, ϵ δρύες ὑψίτεραι,
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰ δ' ἂν ἀφέρπῃ,
Χὠ τὰς βῶς βόσκων, χ' αἱ βόες αὐότεραι.
Μ. Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔρπφοι·
Ἐν τήνῳ γὰρ τῆνος. ἴθ', ὦ κόλε, ϵ λέγε Μίλῳ
Ὡς Πρωτεὺς φώκας, ϵ θεὸς ὢν, ἔνεμε.
Δ. Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχειν, μηδὲ πρόσθε θέειν ἀνέμων·
Ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ἄσομαι ἀγκὰς ἔχων τύ,
Σύννομα μᾶλ' ἐσορῶν τὰν Σικελὰν ἐς ἄλα.
Μ. Δένδρεσι μὲ χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμὸς,
Ὄρνισιν δ' ὕασλαγξ, ἀγροτέροις ϝ λίνα·
Ἀνδρὶ ϝ παρθενικᾶς ἀπαλᾶς πόθος. ὦ πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠράσθην· ϵ τὺ γυναικοφίλας.
Ταῦτα μὲ ὢν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν·
Τὰν πυράταν δ' ὠδὰν ἔτως ἐξῆρχε Μενάλκας.

Μ. Φείδευ τῶν ἐρίφων, φείδευ, λύκε, τῶν τοκάδων μευ.
Μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτῶ.
Ω Λάμπυρε κύων, ἔτω βαθὺς ὕπνος ἔχει τύ;
Οὐ χρὴ κοιμᾶσθ βαθέως σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄϊες, μηδ' ὔμμες ὀκνεῖθ' ἀπαλᾶς κορέσασθ
Ποίας· ἔτι καμεῖθ' ὄκκα πάλιν ἄδε φύῃ).
Σίτα νέμεσθε, νέμεσθε· τὰ δ' ἄθαλα πλήσατε πᾶσαι,
Ὡς τὸ μὶ ὤ"ρνες ἔχωντι, τόδ' ἐς ταλάρως ἀπόθωμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλλετ' ἀείδειν.
Δ. Κἄμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
Τὰς δαμάλας παρελῶντα, καλὸν καλὸν ἤμες ἔφασκεν,
Οὐ μὰν ὐδὲ λόγων ἐκρίθην ἄπο τ" πικρὸν αὐτᾷ,
Ἀλλὰ κάτω βλέψας, τὰν ἀμετέραν ὁδὸν εἶρπον.
Ἀδεῖα φωνὰ τᾶς πόρτις, ἀδὺ τὸ πνεῦμα·
Ἀδὺ ϝῦ χὠ μόσχος γαρύει), ἀδὺ ϝὶ χ' ἁ βῶς·
Ἀδὺ ϝῦ τῶ θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτεῖν·
Τᾷ δρυὶ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα,
Τᾷ βοὶ δ' ἁ μόσχος, τῷ βυκόλῳ αἱ βόες αὐταί.
Ὡς οἱ παῖδες ἄεισαν. ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν.
Α. Ἀδύ τι τὸ ϛόμα τοι Ϲ ἐφίμερος, ὦ Δάφνι, φωνά.
Κρέσσον μελπομένω τεῦ ἀκούσμᾳ ἢ μέλι λείχειν.
Λάσδεο τὰς σύριγγας· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῆς με Ϲ αὐτὸν ἄμ' αἰπολέοντα διδάξαι,
Τήναν τὰν μιτύλαν δωσῶ τὰ διδακλρά τοι αἶγα,

"Ατις

Ἄτις ὑπὲρ κεφαλᾶς αἰεὶ τ' ἀμολγέα πληροῖ.
Ὡς μὴ ὁ παῖς ἐχάρη θ' ἀνήλατο θ' πλατάγησε
Νικήσας, ἔτως ἐπὶ μητέρα νεβρὸς ἄλοιτο·
Ὡς ᾗ καλεσμύχθη θ' ἀνελράπετο φρένα λύπη
Ὤτερθε, ἔτω θ' νύμφα γαμεθεῖσ' ἀκάχοιτο.
Καὐκ τότῳ Δάφνις πὰρ ποιμέσι πρᾶτος ἔληντο,
Καὶ νύμφαν ἄκρηθε ἐὼν ἔτι, Ναΐδα γᾶμψ.

ΝΟΜΕΥΣ, Η ΒΟΥΚΟΛΟΙ,

Εἰδύλλιον θ'.

ΔΑΦΝΙΣ καὶ ΜΕΝΑΛΚΑΣ.

ΒΩΚΟΛΙΑΣΔΕΟ Δάφνι· τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτε,
Ὠδᾶς ἄρχεο πρᾶτε, ἐφεψάσθω ᾗ Μενάλκας,
Μόχθως βωσὶν ὑφέντες, ὑπὸ σειραισι ᾗ ταύρως·
Χ' οἱ μὲ ἁμᾶ βόσκοισθε θ' ἐν φύλλοισι πλανῶντο,
Μηδὲν ἀτιμαγελεῦντες. ἐμὶν ᾗ τὺ βωκολιάσδευ
Ἔμποθεν· ἄλλοθεν δέ γ' ὑποκρίνοιτο Μενάλκας.
Δ. Ἀδὺ μὲ ἁ μόχθε γαρύεϳ, ἀδὺ ᾗ χ' ἁ βῶς,
Ἀδὺ ᾗ χ' ἁ σύριγξ, χὼ βωκόλε· ἀδὺ ᾗ κὴγών.
Ἐντὶ δέ μοι παρ' ὕδωρ ψυχρὸν σιβάς· ἐν ᾗ νέναφ
Λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἀπάσας
Λὶψ κομαρὸν ποιωοῖσας ἄπο σκοπιᾶς ἐτίναξε.
Τᾶ ᾗ θέρευς φρύγονϳε ἐγὼ τόσον μελεδαίνω,
Ὅσον ἐρῶν τι παῖρὸς μύθων θ' μὴρὸς ἀκύειν.

Οὕτω Δάφνις ἄεισεν ἐμίν· ἔτω ᾖ Μενάλκας.

Μ. Αἴτνα μάτερ ἐμά, κἠγὼ καλὸν ἄνδρον ἐνοικῶ
Κοίλαις ἐν πέτρῃσιν· ἔχω δέ τοι ὅσ' ἐν ὀνείρῳ
Φαίνον), πολλὰς μὲ ὄϊς, πολλὰς ᾖ χιμαίρας,
Ὧν μοι πρὸς κεφαλᾶ Ϲ παρ' ποσὶ κώεα κεῖν).
Ἐν πυρὶ ᾖ δρυΐνῳ χωρία ζεῖ, ἐν πυρὶ δ' αὖαι
Φαγοὶ χειμαίνον]ϴ· ἔχω δέ τοι ὐδ' ὅσον ὤραν
Χείμα]ϴ, ἢ νωδὸς καρύων, ἀμύλοιο παρόν]ϴ.
Τοῖς μὲ ἐπεπλατάγησα, Ϲ αὐτίκα δῶρον ἔδωκα,
Δάφνιδι μὲ κορύναν, τάν μοι πατρὸς ἔτρεφεν ἀγρὸς
Αὐτοφυᾶ, τὰν ὐδ' ἂν ἴσως μωμάσατο τέκλων·
Τήνῳ ᾖ, τρόμβω καλὸν ὄρμακον, ἢ κρέας αὐτὸς
Σιτάθλῳ, πέτραισιν ἐν ἰκαρίαισι δοκεύσας,
Πέντε ταμὼν, πέντ' ἔσιν. ὁ δ' ἐγκαναχήσατο κόχλῳ.

Βωκολικαὶ μῶσαι μάλα χαίρετε, φαίνετε δ' ὠδάν
Τάν ποκ' ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι.
Μηκέτ' ἐπὶ γλώσσας ἄκρας ὀλοφυγδόνα φύσης.
Τέτλιξ μὲ τέτλιγι φίλϴ, μύρμακι ᾖ μύρμαξ,
Ἴρηκες δ' ἴρηξιν· ἐμὶν δ' ἃ μῶσα Ϲ ᾠδά.
Τᾶς μοι πᾶς εἴη πλεῖϴ δόμϴ· ἔτε γὰρ ὕπνϴ,
Οὔτ' ἔαρ ἐξαπίνας γλυκερώτερον, ἔτε μελίσσαις
Ἄνθεα, ὅσσον ἐμὶν μῶσαι φίλαι. ἔς γὰρ ὀρῶσαι
Γαθεῦσιν, τὼς δ' ἔτι ποτῷ δαλήσατο Κίρκα.

ΚΥΚΛΩΨ,

ΚΥΚΛΩΨ.

Εἰδύλλιον ια΄.

ΟΥΔΕΝ ποτὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο
Νικία, ὅτ' ἐγχρίσον, (ἐμοὶ δοκεῖ) ὅτ' ἐπίπασον,
Ἢ ταὶ Πιερίδες. κῦφον δέ τι τῦτο Ϛ ἀδὺ
Γίνετ' ἐπ' ἀνθρώποις· εὑρῆν δ' ὐ ῥᾴδιόν ἐσι.
Γινώσκεν δ' οἶμαι τὺ καλῶς, ἰαῖρὸν ἐόνζα,
Καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα μοίσας.
Οὕτω γῦν ῥᾴϊσα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἡμῖν,
Ὠρχαῖϙ Πολύφαμϙ, ὅκ' ἤρατο τᾶς Γαλατείας,
Ἄρτι ἠϊθείοσδων περὶ τὸ σόμα τὼς κροτάφως τε·
Ἤρατο δ' ὔτι ῥόδοις, ἢ μάλοις, ὐδὲ κικίνοις,
Ἀλλ' ὀλοαῖς μανίαις· ἀγεῖτο ϑ πάνζα πάρεργα.
Πολλάκι Ϛ ὄϊες ποτὶ ταὔλιον αὐταὶ ἀπῆνθον
Χλωρᾶς ἐκ βοτάνας· ὁ ϑ τὰν Γαλάτειαν ἀείδων
Αὐτῶ ἐπ' αἰϊνϙ κατετάκετο φυκιόεσσης
Ἐξ ἀϋῆς, ἔχθιγον ἔχων ποκάρδιον ἔλκϙ,
Κύπριϙ ἐκ μεγάλας, τό οἱ ἤπατι πᾶξε βέλεμνον.
Ἀλλὰ τὸ φάρμακον εὗρε· καθεζόμενος δ' ἐπὶ πέτρας
Ὑψηλᾶς, ἐς πόντον ὁρῶ, ἄεισε τοιαῦτα.

"Ὦ λευκὰ Γαλάτεια, τί τ' φιλέοντ' ἀποβάλλῃ;
Λευκοτέρα πακλᾶς ποτιδεῖν, ἁπαλωτέρα δ' ἀρνὸς,
Μόσχω γαυροτέρα, φιαιωτέρα ὄμφακϙ ὠμᾶς·

Φοιτῆς

Φοιτῆς δ' αὖθ' ὅτως ὄκκα γλυκὺς ὕπνος ἔχῃ με,
Οἴχῃ δ' εὐθὺς ἰοῖσα ὄκα γλυκὺς ὕπνος ἀνῇ με·
Φεύγεις δ' ὥσπερ ὄϊς ωολιὸν λύκον ἀθρήσασα.
Ἡράθλω μὶ ἔγωγε, κόρα, τεῦ ἀνίκα ωρᾶτον
Ἦνθες ἐμᾶ συὺν ματρὶ, θέλοισ' ὑακίνθινα φύλλα
Ἐξ ὄρεος δρέψαᾳς· ἐγὼ δ' ὁδὸν ἡγεμόνευον.
Παύσαᾳς δ' ἐσιδὼν τὺ ϛ ὕσερον ὐδέτι ωω νῦν
Ἐκ τήκω δύναμαγ· τὶν δ' ὐ μέλει ὐ μὰ Δί' ὐδέν.
Γινώσιω χαρίεσσα κόρα τίνος ἕνεκα φεύγεις.
Οὔνεκά μοι λασία ϗ ὀφρῦς ἐπὶ ωαντὶ μετώπῳ
Ἐξ ὑτὸς τέτα ϗ ωοτὶ θᾶτερον ὣς μία μακρά·
Εἷς δ' ὀφθαλμὸς ἔπεσι, ωλατεῖα ϗ ῥὶς ἐπὶ χείλη.
Ἀλλ' ὠὐτὸς τοιοῦτος ἐὼν, βοτὰ χίλια βόσκω,
Κἠκ τύτων τὸ κράτισον ἀμελγόμενον γάλα ωίνω·
Τυρὸς δ' ὐ λείπει μ' ὅτ' ἐν θέρει, ὅτ' ἐν ὀπώρῃ,
Οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί.
Συρίσδεν δ' ὡς ὅτις ἐπίσαμαγ ὧδε Κυκλώπων,
Τὶν, τὸ φίλον γλυκύμαλον, ἁμᾶ κἠμαυτὸν ἀείδων,
Πολλάκι νυκτὸς ἀωρί. τρέφω δέ τοι ἕνδεκα νεβρὼς
Πάσας ἀμνοφόρως, ϗ σκύμνως τέσσαρας ἄρκλων.
Ἀλλ' ἀφίκεο τὺ ωοτ' ἀμὲ, ϗ ἐξεῖς ὐδὲν ἔλασσον·
Τὰν γλαυκὰν ϗ θάλασσαν ἃ ωοτὶ χέρσον ὀρεχθεῖν.
Ἄδιον ἐν τῶντερῳ ωαρ' ἐμὶν τὰν νύκτα ϗαξεῖς·
Ἐντὶ δάφναγ τηνεὶ, ἐντὶ ῥαιναὶ κυπάρισσοι,
Ἐντὶ μέλας κισσὸς, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος.

Ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἀ πολυδένδρεο Αἴτνα
Λύκας ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι·
Τίς κεν τῶνδε θάλασσαν ἔχειν ἢ κύμαθ' ἕλοιτο;
Αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἤμες,
Ἐντὶ δρυὸς ξύλα μοι, ϛ ὑπὸ ποδῶ ἀκάματον πῦρ·
Καιόμενο δ' ὑπὸ τεῦ ϛ τὰν ψυχὰν ἀνεχοίμαν,
Καὶ τ' ἔν' ὀφθαλμὸν, τῶ μοι γλυκερώτερον ὕδεν.
Ὤ μοι ὅτ' οὐκ ἔτεκέν μ' ἀ μάτηρ βράγχι' ἔχονζα,
Ὡς κατέδυν ποτὶ τὶν, ϛ τὰν χέρα τεῦ ἐφίλασα,
Αἰ μὴ τὸ ζόμα λῆς. ἔφερον δέ τοι ἢ κρίνα λύκα,
Ἢ μάκων' ἀπαλὰν, ἐρυθρᾷ πλαζαγώνι' ἔχοισαν.
Ἀλλὰ τὰ μέν, θέρεος, τὰ δ' γίνετ' ἐν χειμῶνι·
Ὡς δ' ὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθλευ.
Νῦν μὰν, ὦ κόρον, νῦν αὐτό γα νεῖν γε μαθεῦμαι,
Αἴκά τις σὺν ναὶ πλέων ξένος ὧδ' ἀφίκηται·
Ὡς κεν ἴδω τί ποθ' ἁδὺ κατοικῆν τ' βυθὸν ὔμμιν.
Ἐξένθοις Γαλάτεια, ϛ ἐξενθοῖσα λάθοιο
(Ὥσπερ ἐγὼν νῦν ὧδε καθήμενος) οἴκαδ' ἀπενθεῖν·
Ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα, ϛ γάλ' ἀμέλγειν,
Καὶ τυρὸν πάξαι, τάμισον δρμιεῖαν ἐνεῖσα.
Ἃ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
Θὐδὲν πάποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπέρ μευ,
Καὶ ταῦτ', ἄμαρ ἐπ' ἄμαρ ὁρῶσά με λεπτὸν ἐόνζα.
Φασῶ τὰν κεφαλὰν ϛ τὼς πόδας ἀμφοτέρως μευ
Σφύσδειν, ὡς ἀνιαθῆ· ἐπεὶ κἠγὼν ἀνιῶμαι.

Ὦ Κύκλωψ,

Ὦ Κύκλωψ, Κύκλωψ, ποῖ τᾶς φρένας ἐκπεπότασαι;
Αἶκ' ἐνθὼν ταλάρως τε πλέκοις, Ϲ θαλλὸν ἀμάσας
Τοῖς ἄρνεσσι φέροις, τάκα κεν πολὺ μᾶλλον ἔχοις νῶν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τ' φεύγονθ' διώκεις;
Εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
Πολλαὶ συμπαίσδεν με κόραι τὰν νύκθ' ἑλόν Ϝ,
Κιχλίζοντι Ϝ πᾶσαι, ἐπήν κ' αὐταῖς ὑπακοίσω·
Δηλονότ' ἐν τᾷ γᾷ κήγών τις φαίνομαι ἥρες."
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τ' ἔρωτα,
Μεσίσδων· ῥᾷον Ϝ ἢ Ϝᾶγ' ἢ χρυσὸν ἔδωκεν.

ΧΑΡΙΤΕΣ, Η ΙΕΡΩΝ,

Εἰδύλλιον ις'.

ΑΙΕΙ τᾶτο Διὸς κέραις μέλει, αἰὲν ἀοιδοῖς,
Ὑμνεῖν ἀθανάτες, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν,
Μῶσαι μᾶ, θεαὶ ἐντὶ, θεὺς θεαὶ εἰδόντι·
Ἄμμες Ϝ βροτοὶ οἶδε, βροτὸς βροτοὶ εἰδώμεθ'.
Τίς γὰρ τῶν ὁπόσαι γλαυκὰν ναίσσιν ὑπ' ἠῶ,
Ἡμετέρας χάριτας πετάσας ὑποδέξε Ϝ οἴκῳ
Ἀσπασίως, ἐδ' αὖθις ἀδωρήτως ἀποπεμψεῖ;
Αἳ Ϝ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,
Πολλά με τωθάσδουσαι ὅτ' ἀλιθίαν ὁδὸν ἦνθον·
Ὀκνηραὶ Ϝ πάλιν κενεᾶς ἐπὶ πυθμένι χηλᾶς
Ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι,

Ἔνθ'

Ἔνθ' αὖτε σφίσιν ἕδρη, ἐπὰν ἄπρακτοι ἵκωνται.
Τίς τῶν νῦν τοιόσδε; τίς εὖ εἰπόντα φιλάσει;
Οὐκ οἶδ'· ἐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργοις (ὡς πάρος)
ἐσθλοῖς
Αἰνεῖσθ' ἀπεύδοντι· νενίκηνται δ' ὑπὸ κερδέων.
Πᾶς δ' ὑπὸ κόλπῳ χεῖρας ἔχων, πόθεν οἵσετ' ἀθρεῖ
Ἄργυρον· ἐδέ κεν ἰὸν ἀπερείψας τινὶ δοίη·
Ἀλλ' εὐθὺς μυθεῖται, ἀπωτέρω ἢ γόνυ, κνήμα·
Αὐτῷ μοι τὶ γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς.
Τίς δέ κεν ἄλλε ἀκύσαι; ἄλις πάντεσσιν Ὁμηρος·
Οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἵσετ' ἐδέκεν.
Δαιμόνιοι, τί ἢ κέρδος ὁ μυρίος ἔνδοθι χρυσὸς
Κείμηλος; ἐχ ἅδε πλεῖστα φρονέουσιν ὀπαδοί·
Ἀλλὰ τὸ μὲ ψυχᾷ, τὸ ἢ καί τινι δῶκαν ἀοιδῶν·
Πολλοὺς δ' εὖ ἔρξαν πατρῶν, πολλοὺς ἢ καὶ ἄλλων
Ἀνθρώπων· αἰεὶ ἢ θεοῖς ἐπιθύματα ῥέζειν·
Μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζῃ
Μειλίξαντ' ἀποπέμψαι, ἐπὰν ἐθέλωσι νέεσθαι.
Μυσάων ἢ μάλιστα τίειν ἱερὺς ὑποφήτας·
Ὅφρα καὶ εἰν ᾅδαο κεκρυμμένος, ἐσθλὸς ἀκούσῃς,
Μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχρῷ Ἀχέροντι,
Ὡσεί τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας,
Δεινὴν ἐκ πατέρων πενίην ἀκτήμονα κλαίων.
Πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
Ἁρμαλιὴν ἔμμηνον ἐμετρήσαντο πενέσθαι·

Πολλοὶ

Πολλοὶ ἢ Σκοπάδαισιν ἐλαυνόμενοι ποτὶ σακὸν
Μόχοι σὺν κεραοῖσιν ἐμυκήσαντο βόεσσι·
Μυρία δ' ἀμπεδίον Κραννώνιον ἐνδιάασκον
Ποιμένες ἔκκριτα μῆλα φιλοξείνοισι Κρεώνδαις·
Ἀλλ' ὅ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν
Θυμὸν ἐς εὐρεῖαν χεδίαν συγνὸν Ἀχέροντος,
Ἄμνασοι ἦ, τὰ πολλὰ καὶ ὄλβια τῆνα λιπόντες,
Δειλοῖς ἐν νεκύεσσι μακρὺς αἰῶνας ἔκειντο,
Εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήιος αἰόλα φωνέων
Βάρβιτον ἐς πολύχορδον, ἐν ἀνδράσι θῆκ' ὀνομαστὸς
Ὁπλοτέροις· τιμὰς ἢ καὶ ὠκέες ἔλλαχον ἵπποι,
Οἵ σφισιν ἐξ ἱερῶν σεφανηφόροι ἦνθον ἀγώνων.
Τίς δ' ἂν ἀρισῆας Λυκίων ποτὲ, τίς κομόωντας
Πραμίδας, ἢ θῆλυν ἀπὸ χροιᾶς κύκνον ἔγνω,
Εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί;
Οὐδ' Ὀδυσεὺς, ἑκατόν τε Ϲ εἰκαδι μῆνας ἀλαθεὶς
Πάντας ἐπ' ἀνθρώπους, ἀΐδαν τ' εἰς ἔσχατον ἐλθὼν
Ζωὸς, Ϲ ἀπήλυγα φυγὼν ὁλοοῖο Κύκλωπος,
Δηναιὸν κλέος ἔσχεν. ἐσιγάθη δ' ἂν ὑφορβὸς
Εἶμαι, καὶ βυσὶ Φιλοίτιος ἀμφ' ἀγελαίας
Ἔργον ἔχων, αὐτός τε περίφραδὴς Λαέρτης,
Εἰ μὴ σφᾶς ὦνασαν Ἰάονος ἀνδρὸς ἀοιδαί.
Ἐκ μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι·
Χρήματα ἢ ζώοντες ἀμαλδύνουσι θανόντων.
Ἀλλ' ἴσος γὰρ ὁ μόχθος, ἐπ' ἀόνι κύματα μέτρειν,

Ὅσσ'

Ὅσ᾽ ἄνεμος χέρσονδε μὴ γλαυκὰς ἁλὸς ὦθεῖ,
Ἢ ὕδατι νίζειν θολερὴν ἰοειδέϊ πλίνθον,
Καὶ φιλοκερδείῃ βεβλαμμένον ἄνδρα παρελθεῖν
Χαιρέτω ὅσις τοῖος. ἀνήριθμος δέ οἱ εἴη
Ἄργυρος· αἰεὶ ᾧ πλεόνων ἔχοι ἵμερος αὐτόν.
Αὐταὰρ ἐγὼ τιμήν τε καὶ ἀνθρώπων φιλότητα
Πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
Δίζημαι ᾧ τίνι θνατῶν κεχαρισμένος ἔνθω
Σὺν Μοίσαις. χαλεπαὶ γὰρ ὁδοὶ τελέθουσιν ἀοιδᾶν
Μουσάων, ἀπάνευθε Διὸς μέγα βουλεύοντος.
Οὔπω μῆνας ἄγων ἕκαμ᾽ οὐρανὸς ὐδ᾽ ἐνιαυτές.
Πολλοὶ κινήσουσιν ἔτι τροχὸν ἅρμαθος ἵπποι.
Ἔστε ᾧτος ἀνὴρ ὃς ἐμῷ κεχρήσετ᾽ ἀοιδῷ,
Ῥέξας ἢ Ἀχιλεὺς ὅσον μέγας, ἢ βαρὺς Αἴας
Ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.
Ἤδη νῦν Φοίνικες, ὑπ᾽ ἠελίῳ δύνοντι
Οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν, ἐρρίγασιν.
Ἤδη βασάζουσι Συρακόσιοι μέσα δέρρα,
Ἀχθόμενοι σακέεσι βραχίονας ἰτείνοισιν·
Ἐν δ᾽ αὐτοῖς Ἱέρων, προτέροις ἴσος ἡρώεσσι,
Ζώννυται, ἱππείαι ᾧ κόρυν σκεπάουσιν ἔθειραι.
Αἳ γὰρ Ζεῦ κύδιστε πάτερ καὶ πότνι᾽ Ἀθάνα,
Κύρη θ᾽ ἃ σὺν μητρὶ πολυκλήρων Ἐφυραίων
Εἵλησας μέγα ἄστυ, παρ᾽ ὕδασι Λυσιμελείας,
Ἐχθρὺς ἐκ νάσοιο κακαὶ πέμψειαν ἀνάγκαι

Σαρδόνιον

Σαρδάνιον κ' ὦμα, φίλων μόρον ἀγλεόντες
Τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθμητὸς ὑπὸ πολλῶν.
Ἀσεαί τε πρότεροισι πάλιν ναίοιντο πολῖται
Δυσμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατ' ἄκρας.
Ἀγροὺς δ' ἐργάζοιντο τεθαλότας· αἵ τ' ἀνάριθμοι
Μήλων χιλιάδες βοτάναις ἁλιανθείσαι,
Ἀμπεδίον βλήχοιντο, βόες δ' ἀγεληδὸν ἐς αὖλιν
Ἐρχόμεναι σκιπταῖον ὑπαυδοίεν ὀδίταν.
Νειοὶ δ' ἐκπονέοιντο ποτὶ ὄρος, ἔνθα τέτληξ
Ποιμένας ἐνδίους περφυλαγμένος, ἔνδοθι δένδρων
Ἀχεῖ ἐν ἀκρεμόνεσιν. ἀράχνια δ' εἰς ὅπλ' ἀράχναι
Λεπτὰ ἁλιζήσαιντο, βοᾶς δ' ἔτι μηδ' ὄναμ' εἴη.
Ὑψηλὸν δ' Ἱέρωνι κλέος φορέοιεν ἀοιδοὶ
Καὶ πόντῳ Σκυθικοῖο πέραν, ἠδ' ὅπη πλατὺ τεῖχος
Ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.
Εἷς μὲ ἐγὼ, πολλοὶ δὲ Διὸς φιλέοντι καὶ ἄλλοι
Θυγατέρες, τοῖς πᾶσι μέλοι Σικελὴν Ἀρέθοισαν
Ὑμνεῖν σὺν λαοῖσι. καὶ αἰχμητὰν Ἱέρωνα.
Ὦ Ἐτεόκλειοι Χάριτες θεαὶ, αἳ Μινύειον
Ὀρχομενὸν φιλέοισκ, ἀπεχθόμενόν ποτε Θήβαις,
Ἄκλητος μὲ ἐγὼ μίμνοιμί κεν· ἐς δὲ καλεύντων
Θαρσήσας Μοίσαισι σὺν ἀμετέρῃσιν ἰκοίμαν.
Καλλείψω δ' ἔδ' ὕμμε· τί γὰρ Χαρίτων ἀγαπατὸν
Ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἄμ' εἶμι.

ΜΟΣΧΟΥ

ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ.

Ἀκυπρις τ᾽ Ἔρωτα τ᾽ ἠέα μακρὸν ἐβώσρει,
Εἴτις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
Δραπετίδας ἐμός ἐσιν· ὁ μανυτὰς γέρας ἔξει.
Μισθός τοι, τὸ φίλαμα τὸ Κύπριδος, ἢν ἀγάγῃς νιν.
Ἔσι δ᾽ ὁ παῖς περίσαμος· ἐν εἰκόσι πᾶσι μάθοις νιν.
Χρῶτα μὲ ὲ λευκὸς, πυρὶ δ᾽ εἰκελος· ὄμματα δ᾽ αὐτῷ
Δριμύλα κ᾽ φλογόεντα· κακαὶ φρένες, αἰδὺ λάλημα.
Οὐ γὰρ ἴσον νοέει κ᾽ φθέγγεται· ὡς μέλι, φωνά.
Ἢν δὲ χολᾷ, νόος ἐσιν ἀνάμερος, ἠπεροπευτὰς,
Οὐδὲν ἀλαθεύων· δόλιον βρέφος, ἄγριμα παίσδει.
Εὐπλόκαμον τὸ κάρηνον, ἔχει δ᾽ ἰταμὸν τὸ πρόσωπον·
Μικκύλα μὲ τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει,
Βάλλει κ᾽ εἰς Ἀκέροντα κ᾽ εἰς αἰΐδεω βασιλῆα.
Γυμνὸς μὲ τόγε σῶμα, νόος δέ οἱ ἐμπεπύκασαι.
Καὶ πτερόεις ὅσον ὄρνις ἐφίπλα· ἄλλοτ᾽ ἐπ᾽ ἄλλες
Ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθη.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξῳ δὲ βέλεμνον·
Τυτθὸν ἐοῖ τὸ βέλεμνον, ἐς αἰθέρα δ᾽ ἄχρι φορεῖται.

Καὶ χρύσεον περὶ νῶτα φάρετρον, ἔνδοθι δ' ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιρώσκει:
Πάντα μὶ ἄγρια, πάντα· πολὺ πλεῖον δέ οἱ αὐτῷ
Βαιὰ λαμπὰς ἐοῖσα τ' ἄλιον αὐτὸν ἀναίθει.
Ἢν τύ γ' ἔλῃς τῆνον, δάσας ἄγε, μηδ' ἐλεήσῃς.
Κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο μή σε πλανήσῃ·
Κἢν γελάᾳ, τύ νιν ἔλκε· κ' ἢν ἐθέλῃ σε φιλάσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακον ἐντί.
Ἢν δὲ λέγῃ, Λάβε ταῦτα, χαρίζομαί ὅσσά μοι ὅπλα,
Μήτι θίγῃς· πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπ'.

ΒΙΩΝΟΣ

ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ.

Εἰδύλλιον ά.

ΑΙΑΖΩ τ᾽ Ἄδωνιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι, Κύπρι, κάθευδε·
Ἔξελθε δειλαία κυανοπόλε, καὶ πλατάγησον
Στάθεα, καὶ λέγε πᾶσιν, Ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τ᾽ Ἄδωνιν, ἐπαιάζουσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐπ᾽ ὤρεσι, μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπείς, καὶ Κύπριν ἀνιᾷ
Λεπτὸν ἀποψύχων· τὸ δέ οἱ μέλαν εἴβεν αἷμα
Χιονέας κατὰ σαρκός· ὑπὸ ὀφρύσι δ᾽ ὄμματα νᾶρκεῖ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
Θνάσκει καὶ τὸ φίλαμα, τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲ τὸ φίλαμα καὶ ἐ ζώοντος ἀρέσκει·
Ἀλλ᾽ οὐκ εἶδεν Ἄδωνις ὅ μιν θνάσκοντ᾽ ἐφίλασεν.
Αἰάζω τ᾽ Ἄδωνιν, ἐπαιάζουσιν Ἔρωτες.
Ἄγριον ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·
Μεῖζον δ᾽ ἃ Κυθέρεια φέρει κατὰ κάρδιον ἕλκος.
Κεῖνον μὲ περὶ παῖδα φίλοι κύνες ὠρύσαντο,
Καὶ νύμφαι κλαίουσιν ὀρειάδες· ἃ δ᾽ Ἀφροδίτα,

Λυσαμένα πλοκαμῖδας, ἀνὰ δρυμὸς ἀλάλη)
Πενθαλέα, νήπλεκ]ος, ἀσάνδαλ]ος· αἱ δὲ βάτοι νιν
Ἐρχομέναν τείροντι, ϛ ἱερὸν αἷμα δρέπον).
Ὀξὺ ϗ κωκύσα, δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσύρμον βοόωσα πόσιν, ϛ παῖδα καλεῦσα.
Ἀμφὶ δέ μιν μέλαν αἷμα παρ' ὀμφαλὸν ἠωρεῖτο,
Στάθεα δ' ἐκ μηρῶν φοινίσσετο· οἱ δ' ὑπομαζοὶ
Χιόνεον τοπάροιθεν Ἀδώνιδι πορφύροντο.
Αἶ αἶ τὰν Κυθέρειαν, ἐπαμάζεσιν Ἔρωτες.
Ὤλεσε τ' καλὰν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδ]ος.
Κύπριδι μὲ καλὸν εἶδ]ος, ὅτε ζώεσκεν Ἄδωνις.
Κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδ]ος, αἶ αἶ.
Ὤρεα πάνϛα λέγοντι ϛ αἱ δρύες, Αἶ τ' Ἄδωνιν·
Καὶ ποταμοὶ κλαίουσι τὰ πένθεα τᾶς Ἀφροδίτας,
Καὶ πηγαὶ τ' Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
Ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθραίνε). ἁ δὲ Κυθήρη
Πάντας ἀνὰ κναμὼς ϛ ἀνὰ πόλιν οἰκτρὸν ἀείδει.
Αἶ αἶ τὰν Κυθέρειαν· Ἀπώλετο καλὸς Ἄδωνις.
Ἀχὼ δ' ἀντεβόασεν, Ἀπώλετο καλὸς Ἄδωνις·
Κύπριδ]ος αἰνὸν ἔρωϛα τίς οὐκ ἔκλαυσεν ἄν; Αἶ αἶ,
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδ]ος ἄχετον ἕλκ]ος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Πάχεας ἀμπετάσασα κινύρετο, Μεῖνον Ἄδωνι,
Δύσμορε μεῖνον Ἄδωνι, πανύσατον ὥς σε κιχείω,
Ὡς σε περιπλύξω, ϛ χείλεα χείλεσι μίξω.

Ἔχρεα

Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλασον.
Τοσσῦτόν με φίλασον, ὅσον ζώει τὸ φίλαμα·
Ἄχρις ἀπὸ ψυχῆς ἐς ἐμὸν στόμα κεἰς ἐμὸν ἦπαρ
Πνεῦμα τεὸν ῥεύσῃ, τὸ ϗ σεῦ γλυκὺ φίλτρον ἀμέλξω,
Ἐκ δὲ πίω τ' Ἔρωτα· φίλαμα δὲ τῦτο φυλάξω
Ὡς αὐτὸν τ' Ἄδωνιν· ἐπεὶ σύ με δύσμορε φεύγεις,
Φεύγεις μακρὸν, Ἄδωνι, ϗ ἔρχεαι εἰς Ἀχέροντα,
Καὶ συγνὸν βασιλῆα Ϲ ἄγριον· ἀ δὲ τάλαινα
Ζώω, Ϲ θεὸς ἐμμὶ, Ϲ ἀ δύναμαί σε διώκειν.
Λάμβανε, Περσεφόνα, τ' ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτᾶ
Πολλὸν ἐμεῦ κρείσσων· τὸ ϗ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
Εἰμὶ δ' ἐγὼ πανάπομφος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
Καὶ κλαίω τ' Ἄδωνιν, ὤ μοι θάνε, ϗ σὲ φοβεῦμαι.
Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτα.
Χήρη δ' ἀ Κυθέρεια· κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
Σοὶ δ' ἅμα κεσὸς ὄλωλε· τί γὰρ τολμηρὲ κυνάγεις;
Καλὸς ἐὼν τοσσῦτον ἐμίσας θηρσὶ πολαίειν;
Ὣδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζεσιν Ἔρωτες.
Αἰ αἰ τὰν Κυθέρειαν· Ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἀ Παφίη τόσον ἐκχέει, ὅσσον Ἄδωνις
Αἷμα χέει· τὰ ϗ πάντα ποτὶ χθονὶ γίγνετ' ἄνθη·
Αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τ' Ἄδωνιν· Ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ' ἐνὶ δρυμοῖσι τ' ἀνέρα μύρεο, Κύπρι·
Ἔς' ἀγαθὰ σιβᾶς, ἔσσιν Ἀδώνιδι φυλλὰς ἑτοίμα.

Λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις·
Καὶ νέκυς ὢν καλός ἐσι, καλὸς νέκυς οἷα καθεύδων.
Κάτθεο χ᾽ μαλακοῖς ἐνὶ φάρεσιν οἷς ἐνίαυεν,
Τοῖς μ᾽ σεῦ ἀνὰ νύκτα τ᾽ ἱερὸν ὕπνον ἐμόχθει,
Παγχρύσῳ κλιντῆρι· πόθει χ᾽ συγνὸν Ἄδωνιν,
Βάλλε δ᾽ ἐνὶ σεφάνοισι χ᾽ ἄνθεσι· πάντα σὺν αὐτῷ,
Ὡς τλῶ τέθνακε, χ᾽ ἄνθεα πάντ᾽ ἐμαράνθη.
Ῥαῖνε δέ μιν μύρτοισιν, ἀλείφασι, ῥαῖνε μύροισι·
Ὀλλύθω μύρα πάντα· τὸ σὸν μύρον ὤλετ᾽ Ἄδωνις.
Κέκλι᾽ ἀβρὸς Ἄδωνις ἐν ἕμασι πορφυρέοισιν·
Ἀμφὶ δέ μιν κλαίοντες ἀνασεναχεσιν Ἔρωτες,
Κειράμενοι χαίτας ἐπ᾽ Ἀδώνιδι· χῷ μὲ ὀϊσὼς,
Ὃς δ᾽ ἐπὶ τόξον ἔβαιν᾽, ὃς δ᾽ εὔπλερον ἄγε φαρέτρην·
Χῷ μὲ ἔλυσε πέδιλον Ἀδώνιδ, ὃς δὲ λέβησι
Χρυσείοις φορέησιν ὕδωρ, ὁ δὲ μηρία λούει·
Ὃς δ᾽ ὄπιθεν πλερύγεσσιν ἀναψύχει τ᾽ Ἄδωνιν.
Αὐταὶ τὰν Κυθέρειαν ἐπαιάζεσιν Ἔρωτες.
Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιᾶς Ὑμέναι.
Καὶ σέφ ἐξεπέτασσε γαμήλιον· ὐκέτι δ᾽ Ὑμὰν,
Ὑμὰν ὐκέτ᾽ ἀειδόμενον μέλ, ἄδε᾽ αἰ αἰ.
Αἰ αἰ χ᾽ τ᾽ Ἄδωνιν ἔτι πλέον, αἰ Ὑμέναιον.
Λί Χάριτες κλαίοντι τ᾽ ἰέα τῶ Κινύραο,
Ὤλετο καλὸς Ἄδωνις, ἐν ἀλλήλῃσι λέγοισαι·
Αὐταὶ δ᾽ ὀξὺ λέγοντι πολὺ πλέον ἢ τὺ, Διώνα.
Καὶ Μοῖραι τ᾽ Ἄδωνιν ἀνακλαίεσιν Ἄδωνιν,

Καί

Καί μιν ἐπαείδουσιν· ὁ δέ σφισιν οὐκ ἐπακούει,
Οὐ μὰν οὐκ ἐθέλει, κώρα δέ μιν οὐκ ἀπολύει.
Λῆγε γόων, Κυθέρεια, τὸ σήμερον ἴαχεο κώμων·
Δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρύσαι.

Τοῦ αὐτοῦ

Εἰδύλλιον β'.

Ἰξευτὰς ἔτι κῶρος, ἐν ἄλσει δενδρήεντι
Ὄρνεα θηρεύων, τ' ἀπόπτερον εἶδεν Ἔρωτα
Ἑσδόμενον πυξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόησε,
Χαίρων, ὤνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
Τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
Τᾷ & τᾷ τ' Ἔρωτα μετάλμονα ἀμφεδόκευεν.
Χὠ πατὴς ἀχαλάων ἕνεχ' οἱ τέλος εὖρεν ἁπάντη,
Τὼς καλάμως ῥίψας ποτ' ὀρεοτρέα πρέσβυν ἵκανεν,
Ὅς νιν τάνδε τέχναν ἐδιδάξατο, & λέγει αὐτῷ,
Καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
Μειδιάων κίνησε κάρη, & ἀμείβετο παῖδα,
Φείδεο τᾶς θήρας, μηδ' ἐς τόδε τὤρνεον ἔρχευ.
Φεῦγε μακράν· κακὸν ἐντὶ τὸ θηρίον· ὄλβιος ἔσσῃ,
Εἰσόκα μή μιν ἔλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
Οὗτος ὁ νῦν φεύγων & ἐπάλμενος, αὐτὸς ἀφ' αὑτῶ
Ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἔπι σεῖο καθιξεῖ.

Τῦ αὐτῦ

Εἰδύλλιον γ'.

Α Μεγάλα μοι Κύπρις ἐθ' ὑπνώοντι παρέςα,
Νηπίαχον τ' Ἔρωτα καλᾶς ἐκ χειρὸς ἄγοισα,
Ἐς χθόνα νδυσάζοντα· τόσον δέ μοι ἔφρασε μῦθον,
Μέλπειν μοι φίλε βᾶτα λαβὼν τ' Ἔρωτα δίδασκε.
Ὡς λέγε, χ' ἁ μὲ ἀπῆλθεν· ἐγὼ δ' ὅσα βυκολίασδον,
Νήπιον, ὡς ἐθέλοντα μαθεῖν τ' Ἔρωτα δίδασκον,
Ὡς εὗρε πλαγίαυλον ὁ Πὰν, ὡς αὐλὸν Ἀθάνα,
Ὡς χέλυν Ἑρμάων, κίθαριν δ' ὡς ἀδὺς Ἀπόλλων.
Ταῦτά μιν ἐξεδίδασκον· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
Ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
Θνατῶν Ἀθανάτων τε πόθυς, Κ ματέρα ἔργα.
Κἠγὼν ἐκλαθόμαν μὲ ὅσων τ' Ἔρωτα δίδασκον·
Ὅσα δ' Ἔρως μ' ἐδίδασκεν ἐρωτύλα, πάντ' ἐδιδάχθην.

ΜΟΥΣΑΙΟΥ

ΤΑ ΚΑΘ' ΗΡΩ καὶ ΛΕΑΝΔΡΟΝ.

ΕΙΠΕ, θεὰ, κρυφίων ὑπμάρτυρα λύχνον ἐρώτων,
Καὶ νύχιον πλωτῆρα θαλασσοπόρων ὑμεναίων,
Καὶ γάμον ἀχλυόεντα, τὸν οὐκ ἴδεν ἄφθιτος ἠὼς,
Καὶ Σηστὸν Ἄβυδον, ὅπῃ γάμος ἔννυχος Ἡρῦς.
Νηχόμηνόν τε Λέανδρον ὁμῦ λύχνον ἀκούω,
Λύχνον ἀπαγγέλλουσα Μακρορίην Ἀφροδίτης,
Ἡρῦς νυκτιγάμοιο γαμοσόλον ἀγγελιώτιν·
Λύχνον ἔρωτος ἄγαλμα, τὸν ὤφελεν αἰθέριος Ζεὺς
Ἐννύχιον μετ' ἄεθλον ἄγειν ἐς ὁμήγυριν ἄστρων,
Καί μιν ὑπκλῆσαι νυμφοσόλον ἄστρον ἐρώτων,
Ὅτι πέλε ξυνέρμθος ἐρωμανέων ὀδυνάων,
Ἀγγελίην τ' ἐφύλαξεν ἀκοιμήτων ὑμναίων,
Πρὶν χαλεπὸν πνοιῆσιν ἀήμναι ἐχθρὸν ἀήτιν.
Ἀλλ' ἄγε μοι μέλποντι μίαν συνάειδε τελευτὴν
Λύχνε σβεννυμένοιο ὀλλυμένοιο Λεάνδρυ.

ΣΗΣΤΟΣ ἦην ποτ' Ἄβυδος ἐναντίον· εὐγύθι πάντυ
Γείτονές εἰσι πόλεις· Ἔρως δ' ἀνὰ τόξα τιταίνων
Ἀμφοτέρῃς πολίεσσιν ἕνα ξυνέηκεν ὀϊστὸν,
Ἠίθεον φλέξας, καὶ παρθένον· ἓν δὲ μα δ' αὐτῶν,

Ἱμε-

Ἱμερόεις τε Λέανδρος ἔλιω, καὶ παρθένος Ἡρώ.
Ἣ μὲν Σηστὸν ἔναιεν, ὁ δ' ἐκ πολιήθρου Ἀβύδου.
Ἀμφοτέρων πολίων πεικαλλέες ἀστέρες ἄμφω,
Εἴκελοι ἀλλήλοισι. σὺ δ' εἴποτε κεῖθι περήσεις,
Δίζεό μοι τινὰ πύργον, ὅπῃ ποτὲ Σηστιὰς Ἡρὼ
Ἴσατο λύχνον ἔχουσα, καὶ ἡγεμόνευε Λεάνδρῳ·
Δίζεο δ' ἀρχαίης ἁλιηχέα πορθμὸν Ἀβύδου
Εἰσέτι που κλαίουσα μόρον τὸν ἔρωτα Λεάνδρου.
Ἀλλὰ πόθεν Λείανδρος Ἀβυδόθι δώματα ναίων
Ἡρῆς ἐς πόθον ἦλθε, πόθῳ δ' ἐνέδησε καὶ αὐτήν;
Ἡρὼ μὲν χαρίεσσα διοτρεφὲς αἷμα λαχοῦσα,
Κύπριδος ἷῶ ἱέρεια· γάμων δ' ἀδίδακτος ἐοῦσα
Πύργον ἀπὸ προγόνων πὰρ γείτονι ναιὲ θαλάσσῃ,
Ἄλλη Κύπρις ἄνασσα. σαοφροσύνῃ γὰρ καὶ αἰδοῖ
Οὐδέποτ' ἀγρομένῃσι μεθωμίλησε γυναιξίν,
Οὐδὲ χορὸν χαρίεντα μετήλυθεν ἥλικος ἥβης,
Μῶμον ἀλεομένη ζηλήμονα θηλυτεράων·
(Καὶ γὰρ ἐπ' ἀγλαΐῃ ζηλήμονές εἰσι γυναῖκες)
Ἀλλ' αἰεὶ Κυθέρειαν ἱλασκομένη Ἀφροδίτην,
Πολλάκι δὴ τ' Ἔρωτα παρηγορέεσκε θυηλαῖς,
Μητρὶ σὺν ἀρρήτῳ, φλογερὴν τρομέουσα φαρέτρην.
Ἀλλ' ὅδ' ὡς ἀλέεινε πυριπνείοντας ὀϊστούς.
Δὴ γὰρ Κυπριδίη πανδήμιος ἦλθεν ἑορτή,
Τὴν ἀνὰ Σηστὸν ἄγουσιν Ἀδώνιδι καὶ Κυθερείῃ·
Πανσυδίῃ δ' ἔσπευδον ἐς ἱερὸν ἦμαρ ἰκέσθαι

Ὅσσοι

Ὅσσοι ναιετάασκον ἁλισρεφέων σφυρὰ νήσων,
Οἱ μὲ ἀφ' Αἰμονίης, οἱ δ' εἰναλίης ἀπὸ Κύπρου.
Οὐδὲ γυνή τις ἔμιμνεν ἐνὶ πτολίεσσι Κυθήρων,
Οὐ Λιβάνου θυόεντος ἐνὶ πτερύγεσσι χορεύων·
Οὐδὲ πτείκλιόνων τις ἐλείπετο τῆμος ἑορτῆς,
Οὐ Φρυγίης ναέτης, ὑ γείτονος ἀσὸς Ἀβύδου,
Οὐδέ τις ἠϊθέων φιλοπάρθενος· ἦ γὰρ ἐκεῖνοι
Αἰὲν ὁμαρτήσαντες ὅπη φάτις ἐσὶν ἑορτῆς,
Οὐ τόσον Ἀθαναάτων ἀγέμεν πεύθεσι θυηλὰς,
Ὅσσον ἀγειρομένων μὴ κάλλεα πταρθενικάων.
Ἡ ὃ θεῆς ἀνὰ νηὸν ἐπώχετο πταρθένος Ἡρὼ,
Μαρμαρυγὴν χαρίεντος ἀπαστράπτουσα πτροσώπου,
Οἵά τε λευκοπάρῃος ἐπαντέλλουσα σελήνη.
Ἄκρα ὃ χιονέων φοινίσσετο κύκλα πταρειῶν,
Ὡς ῥόδον ἐκ καλύκων διδυμόχροον· ἦ τάχα φαίης
Ἠρῆς ἐν μελέεσσι ῥόδων λειμῶνα φανῆναι.
Χροιὴν γὰρ μελέων ἐρυθαίνετο· νισσομένης ὃ
Καὶ ῥόδα λευκοχίτωνος ὑπὸ σφυρὰ λάμπετο κούρης·
Πολλαὶ δ' ἐκ μελέων Χάριτες ῥέον. οἱ ὃ πταλαιοὶ
Τρεῖς Χάριτας ψεύσαντο πτεφυκέναι· εἷς δέ τις Ἠρῆς
Ὀφθαλμὸς γελόων ἑκατὸν Χαρίτεσσι τεθήλει.
Ἀφεκέως ἱέρειαν ἐπάξιον εὕρατο Κύπρις.
Ὡς ἡ μὲ πτερὶ πτολλὸν χρισεύσασα γυναικῶν
Κύπριδος κρήτειρα, νέη διεφαίνετο Κύπρις.
Δύσατο δ' ἠϊθέων ἁπαλὰς φρένας. οὐδέ τις ἀνδρῶν

Ἦεν

Ἦεν ὃς ὑ μιμέαινεν ἔχειν ὁμοδέμνιον Ἡρώ.
Ἡ δ' ἄρα καλλιθέμεθλον ὅπη κῦ νηὸν ἀλᾶτο,
Ἐσσόμενον νόον εἶχε Ĉ ὄμματα Ĉ φρένας ἀνδρῶν.
Καί τις ἐν ἠϊθέοισιν ἐθαύμασε, Ĉ φάτο μῦθον,
Καὶ Σπάρτης ἐπέβην· Λακεδαίμονος ἕδρακον ἄγυ,
Ἦχι μόθον Ĉ ἄεθλον ἀκούομι ἀγλαϊάων·
Τοίην δ' ἔπω ὄπωπα νέῳ κεδνιώ θ' ἁπαλιώ τε.
Καὶ τάχα Κῦπρις ἔχει Χαρίτων μίαν ὁπλοτεράων.
Παπταίνων ἐμόγησα, κόρον δ' ὐχ εὗρον ὀπωπῆς.
Αὐτίκα τεθναίην λεχέων ἀπὸ ἥμῳ Ἡρῦς.
Οὐκ ἂν ἐγὼ κατ' ὄλυμπον ἐφιμείρω θεὸς εἶναι,
Ἡμετέρῃ παράκοιτιν ἔχων ἐνὶ δώμασιν Ἡρώ.
Εἰ δέ μοι ὧκ ἐπέοικε τελῶ ἱέρειαν ἀφάσσειν,
Τοίην μοι, Κυθέρεια, νέῳ παράκοιτιν ὀπάσσαις.
Τοῖα μὲ ἠϊθέων τις ἐφώνεεν· ἄλλοθεν ἄλλῳ
Ἕλκῳ ὑποκλέπτων ἐπεμήνατο κάλλεϊ κύρης.
Αἰνοπαθὲς Λείανδρε, σὺ δ' ὡς ἴδες εὐκλέα κύρῃ,
Οὐκ ἔθελες κρυφίοισι καλαυρύχειν φρένα κέντροις·
Ἀλλὰ πυριπνεύσοισι δαμεὶς ἀδόκητον ὀϊστοῖς,
Οὐκ ἔθελες ζώειν παικαλέῳ ἄμμορι Ἡρῦς.
Σὺν βλεφάρων ἀκτῖσιν ἄέξετο πυρσὸς ἐρώτων,
Καὶ κραδίη πάφλαζεν ἀνικήτῳ πυρὸς ὁρμῇ.
Κάλλῳ γὰρ περίπυσον ἀμωμήτοιο γυναικὸς
Ὀξύτερον μερόπεσσι πέλει πτερόεντι ὀϊστῷ.
Ὀφθαλμὸς δ' ὁδός ἐσιν· ἀπ' ὀφθαλμοῖο βολάων

Ἕλκῳ

Ἕλκῳ ὀλιθαίνει, καὶ ἐπὶ φρένας ἀνδρὸς ὀδεύει.
Εἶλε δέ μιν τότε θάμβος, ἀναιδείη, τρόμος, αἰδώς.
Ἔτρεμε μὲν κραδίη, αἰδὼς δέ μιν εἶχεν ἀλῶναι·
Θάμβεε δ' εἶδος ἄριστον, ἔρως δ' ἀπενόσφισεν αἰδώ.
Θαρσαλέως δ' ὑπ' ἔρωτος ἀναιδείην ἀγαπάζων,
Ἠρέμα ποσὶν ἔβαινε, καὶ ἀντίον ἵστατο κούρης·
Λοξὰ δ' ὀπιπεύων δολερῇς ἐλέλιξεν ὀπωπάς,
Νεύμασιν ἀφθόγγοισι θαπλάζων φρένα κούρης.
Αὐτὴ δ' ὡς ξυνέηκε πόθον δολόεντα Λεάνδρου,
Χαῖρεν ἐπ' ἀγλαΐῃσιν· ἐν ἡσυχίῃ δ' ἣ καὶ αὐτὴ
Πολλάκις ἱμερόεσσαν εἰὼ ἀπέκρυψεν ὀπωπὴν,
Νεύμασι λαθριδίοισιν ὑπαγγελέουσα Λεάνδρῳ,
Καὶ πάλιν ἀντέκλινεν. ὁ δ' ἔνδοθι θυμὸν ἰάνθη,
Ὅτι πόθον ξυνέηκε, καὶ οὐκ ἀπεσείσατο κούρη.
Ὄφρα μὲν ἓν Λείανδρος ἐδίζετο λάθριον ὥρην,
Φέγγος ἀναστείλασα κατήϊεν ἐς δύσιν ἠώς·
Ἐκ περάτης δ' ἀνέφαινε βαθύσκιος ἕσπερος ἀκτήν.
Αὐτὰρ ὁ θαρσαλέως μετεκίαθεν ἐγγύθι κούρης,
Ὡς ἴδε κυανόπεπλον ὑποθρώσκουσαν ὁμίχλην,
Ἠρέμα μὲν θλίβων ῥοδοειδέα δάκτυλα κούρης,
Βυσσόθεν ἐσονάχιζεν ἀθέσφατον. ἣ δ' ὅ γε σιωπῇ
Οἷά τε χωομένη ῥοδέην ἐξέσπασε χεῖρα.
Ὡς δ' ἐρατῆς ἐνόησε χαλίφρονα νεύματα κούρης,
Θαρσαλέως παλάμῃ πολυδαίδαλον ἕλκε χιτῶνα,
Ἔχματα τιμήεντος ἄγων ἐπὶ κεύθεα νηός.

Ὀκνα-

Ὀκναλέοις ᾗ ποδέεσιν ἐφέσσετο παρθένῳ Ἠρὼ,
Οἷά περ οὐκ ἐθέλουσα· τοίην δ' ἀνενείκατο φωνὴν,
Θηλυτέροις ἐπέεσιν ἀπειλείουσα Λεάνδρῳ,
Ξεῖνε, τί μαργαίνεις; τί με δύσμορε παρθένον ἕλκεις;
Ἄλλῃσι δεῦρο κέλευθον· ἐμὸν δ' ἀπόλειπε χιτῶνα·
Μιῶν ἐμῶν ἀπόειπε πολυκλεάνων ἡμετήρων.
Κύπριδος ἄ σοι ἔοικε θεῆς ἱέρειαν ἀφάσσειν,
Παρθενικῆς ἐπὶ λέκτρον ἀμήχανόν ἐσιν ἱκέσθαι.
Τοῖα μὲ ἠπείλησεν ἐοικότα παρθενικῆσιν.
Θηλείης ᾗ Λέανδρος ἐπεὶ κλύεν οἷστρον ἀπειλῆς,
Ἔγνω πειθομένων σημήϊα παρθενικάων.
(Καὶ γὰρ ἔτ' ἠϊθέοισιν ἀπειλείωσι γυναῖκες,
Πλαζομένης κραδίης αὐτάγγελοί εἰσιν ἀπειλαί.)
Παρθενικῆς δ' εὔοδμον ἐΰχροον αὐχένα κύσας,
Τοῖον μῦθον ἔειπε, πόθῳ βεβολημένος οἴστρῳ,
Κύπρι φίλη μετὰ Κύπριν, Ἀθηναίη μετ' Ἀθήνην,
(Οὐ γὰρ ἀμφιχθονίῃσιν ἴσην καλέω σε γυναιξὶν,
Ἀλλά σε θυγατέρεσσι Διὸς Κρονίωνος εἴσκω)
Ὄλβιος ὅς σ' ἐφύτευσε, καὶ ὀλβίη ἣ τέκε μήτηρ·
Γαστὴρ, ἥ σ' ἐλόχευσε, μακαρτάτη· ἀλλὰ λιταῖων
Ἡμετέρων ἐπάκουε, πόθῳ δ' οἰκτειρον ἀνάγκην.
Κύπριδος ὡς ἱέρεια, φυλάσσεο Κύπριδος ὀργήν.
Δεῦρ' ἴθι, μυχιπόλευε γαμήλια θεσμὰ θεαίνης·
Παρθένον οὐκ ἐπέοικεν ὑποδρήσσειν Ἀφροδίτῃ·
Παρθενικαῖς δὲ Κύπρις ἰαίνεται. ἰὼ δ' ἐθελήσῃς

Θεσμὰ

Θεσμὰ θεῆς ἐρόεντα καὶ ὄργια πᾶσι δαΐζω,
Ἔστι γάμος καὶ λέκτρα. σὺ δ' εἰ φιλέεις Κυθέρειαν,
Θελξινόων ἀγάπαζε μελίφρονα θεσμὸν ἐρώτων·
Σὸν δ' ἱκέτιν με νόμιζε, Ϲ, ἢν ἐθέλῃς, θαλαμαίτιν,
Τόν σοι Ἔρως ἤρδυσεν ἑοῖς βελέεσι κιχήσας.
Ὡς θρασὺν Ἡρακλῆα θοὸς χρυσόῤῥαπις Ἑρμῆς
Θητεύειν ἐκόμιζεν Ἰαρδανίην πότι νύμφην.
Σοὶ δέ με Κύπρις ἔπεμπε, καὶ ὐ σοφὸς ἤγαγε Ἑρμῆς.
Παρθένος ἔ σε λέληθεν ἀπ' Ἀρκαδίης Ἀταλάντη,
Ἣ ποτε Μειλανίωνος ἐραστὰ φύγε εὐνὴν
Παρθενίης ἀλέγουσα· χολωσαμένης δ' Ἀφροδίτης,
Τὸν πάρος οὐκ ἐπόθησεν, ἐνὶ κραδίῃ δέτο πάσῃ.
Πείθεο Ϲ σὺ φίλη, μὴ Κύπριδι μοῦνον ἐγείρῃς.

Ὡς εἰπὼν, παρέπεισεν ἀναινομένης φρένα κούρης,
Θυμὸν ἐρωτοτόκοισι θελξαπλάγξας ἐνὶ μύθοις.
Παρθενικὴ δ' ἄφθογγος ἐπὶ χθόνα νῆξεν ὀπωπὴν,
Αἰδοῖ ἐρυθιόωσαν ὑποκλέψασα παρειὴν,
Καὶ χθονὸς ἔσχεν ἄκρον ἐπ' ἴχνεσιν· αἰδομένη Ϝ
Πολλάκις ἀμφ' ὤμοισιν ἑὸν ξυνέειρε χιτῶνα.
Πειθῆς γὰρ τάδε πάντα προάγγελα· παρθενικῆς Ϝ
Πειθομένης ἀναφανδὸν ὑποσχεσίς ἐστι σιωπή.
Ἤδη Ϲ γλυκύπικρον ἐδέξατο κέντρον ἐρώτων,
Θέρμετο Ϝ κραδίην γλυκερῷ πυρὶ παρθένος Ἡρὼ,
Κάλλεϊ δ' ἱμερόεντι ἀνεπλοίητο Λεάνδρῳ.
Ὄφρα μὲν ἦν ποτὶ γαῖαν ἔχεν νεύουσαν ὀπωπὴν,

Τόφρα ἣ γ' Λείανδρ@ ἐρωμανέεσι προσώποις
Οὐ κάμψ εἰσορόων ἁπαλόχροον αὐχένα κύρης.
Ὀψὲ ἣ Λειάνδρῳ γλυκερῳ ἀνενείκατο φωνῳ,
Αἰδῆς ὑγρὸν ἔρυθ@ ἀποσάζσα προσώπε,

Ξεῖνε, θεοῖς ἐπέεσι τάχ' ἂν γ' ἄλλον ὀρίναις.
Τίς σε πολυπλανέων ἐπέων ἐδίδαξε κελεύθες;
Οἴ μοι, τίς σ' ἐκόμισεν ἐμῳ ἐς πατρίδα γαῖαν;
Ταῦτα ἣ πάντα μάτην ἐφθέγξαο· πῶς γὰρ ἀλήτης
Ξεῖν@ ἐὼν γ' ἄπις@ ἐμῇ φιλότητι μιγείης;
Ἀμφαδὸν ἀ δυνάμεθα γάμοις ὁσίοισι πελάσαι·
Οὐ γὰρ ἐμοῖς τοκέεσιν ἐπιδύσεται. ἢν δ' ἐθελήσῃς
Ὡς ξεῖν@ πολύφοιτ@ ἐμῳ ἐς πατρίδα μίμνειν,
Οὐ δύνασαι σκοτόεσσαν ὑποκλέπτειν Ἀφροδίτην.
Γλῶσσα γὰρ ἀνθρώπων φιλοκέρτομ@· ἐν ἣ σιωπῇ
Ἔργον ὅπερ τελέει τις, ἐνὶ τριόδοισιν ἀκύει.
Εἰπὲ ἣ (μὴ κρύψῃς) τεὸν ὄνομα, γ' σέο πάτρην,
Οὐ γὰρ ἐμόν σε λέλησθεν· ἐμοὶ δ' ὄνομα κλυτὸν, Ἠρώ.
Πύργ@ δ' ἀμφιβόητ@, ἐμὸς δόμ@ ἠρανομήκης,
Ὦ ἔνι ναιετάουσα σὺν ἀμφιπόλῳ τινὶ μούνῃ,
Σηστιάδ@ πρὸ πόλη@ ὑπὲρ βαθυκύμονας ὄχθας,
Γείτονα πόντον ἔχω, συγεραῖς βουλῇσι τοκήων.
Οὐδέ μοι ἐγγὺς ἔασιν ὁμήλικες, οὐδὲ χορεῖαι
Ἠϊθέων παρέασιν· ἀεὶ δ' ἀνὰ νύκτα γ' ἠῶ
Ἐξ ἁλὸς ἠνεμόεντ@ ὑπερρέμει ἄσασιν ἠχή.

Ὡς φαμένη, ῥοδέῳ ὑπὸ φάρεϊ κρύπτε παρειὴν,

Ἐμπα-

Ἔμπαλιν αἰδομένη, σφετέροις δ' ἐπεμέμφετο μύθοις.
Λείανδρ' ὦ πόθι βεβολημένα ὀξέϊ κέντρῳ,
Φράζετο πῶς κεν Ἔρωτα ἀεθλεύσειεν ἀγῶνα.
Ἄνδρα γὰρ αἰολόμητις Ἔρως βελέεσσι δαμάζει,
Καὶ πάλιν ἀνέρα ἕλκα ἀκέσσατ'. οἷσι δ' ἀνάσσει,
Αὐτὸς παντοδαμάτωρ βεληφόρα ἐχὶ βροτοῖσιν.
Αὐτὸς Ϛ ποθέοντι τότε χραίσμησε Λεάνδρῳ.
Ὀψὲ δ' ἀλασήσας πολυμήχανον ἔννεπε μῦθον,
Παρθένε, σὸν δι' ἔρωτα ϗ ἄγριον οἶδμα περήσω,
Εἰ πυρὶ παφλάζοιτο, ϗ ἄπλοον ἔσσετ' ὕδωρ.
Οὐ νεμέω βαρὺ χεῦμα τεὸν μελανεύμα οἶκον,
Οὐ βρόμον ἠχήεντα βαρυγδούποιο θαλάσσης·
Ἀλλ' αἰεὶ ϗ νύκτα φορεύμα ὑγρὸς ἀκοίτης
Νήξομαι Ἑλλήσποντον ἀγάῤῥοον· οὐκ ἔκαθεν γὰρ
Ἀντία σεῖο πόλα ἔχω πολιέθρου Ἀβύδε.
Μοῦνον ἐμοὶ ἕνα λύχνον ἀπ' ἠλιβάτε σέο πύργε
Ἐκ περάτης ἀνάφαινε ϗ νέφας· ὄφρα νοήσας
Ἔσομαι ὁλκὰς Ἔρωτα, ἔχων σέθεν ἀσέρα λύχνον,
Καί μιν ὀπιπεύων, σὸν ὄψομαι δύνα βοώτιν,
Οὐ θρασὺν ὠρίωνα, ϗ ἄβροχον ὁλκὸν ἀμάξῃς,
Πατρίδα ἀντιπόροιο ποτὶ γλυκὺν ὅρμον ἱκοίμην.
Ἀλλὰ φίλη πεφύλαξο βαρυπνείοντας ἀήτας,
Μή μιν ἀποσβέσσωσι, ϗ αὐτίκα θυμὸν ὀλέσσω,
Λύχνον ἐμῆ βιότοιο φαεσφόρον ἡγεμονῆα.
Εἰ ἐτεὸν δ' ἐθέλεις ἐμὸν ἔνομα ϗ σὺ δαίῃσι,

Οὔνομά μοι Λείανδρος, ἐϋσεφάνῳ πόσις Ἡρῦς.
Ὡς οἱ μὲ κρυφίοισι γάμοις συνέθεντο μιγῆναι,
Καὶ νυχίην φιλότητα καὶ ἀγγελίην ὑμεναίων
Λύχνῳ μαρτυρίῃσιν ὑπισώσαντο φυλάξειν·
Ἢ μὲ φάος τανύειν, ὁ δὲ κύμασα μακρὰ περῆσαι.
Παννυχίδας δ' ἀνύσαντες ἀκοιμήτων ὑμεναίων,
Ἀλλήλων ἀέκοντες ἐνοσφίθησαν ἀνάγκῃ,
Ἢ μὲν ἐὸν πότι πύργον, ὁ δ' ὀρφναίην ἀνὰ νύκτα,
Μή τι παραπλάζοιτο, βαλὼν σημήϊα πύργῳ,
Πλῶε βαθυκρήπιδος ἐπ' εὐρέα δῆμον Ἀβύδου·
Παννυχίων δ' ὀάρων κρυφίους ποθέοντες ἀέθλους,
Πολλάκις ἠρήσαντο μολεῖν θαλαμηπόλον ὄρφνην.
Ἤδη κυανόπεπλος ἀνέδραμε νυκτὸς ὁμίχλη,
Ἀνδράσιν ὕπνον ἄγουσα, καὶ ἐ ποθέοντι Λεάνδρῳ·
Ἀλλὰ πολυφλοίσβοιο παρ' ἠϊόνεσσι θαλάσσης
Ἀγγελίην ἀνέμιμνε φαεινομένων ὑμεναίων,
Μαρτυρίην λύχνοιο πολύκλαυσοιο δοκεύων,
Εὐνῆς τε κρυφίης τηλεσκόπον ἀγγελιώτην.
Ὡς δ' ἴδε κυανέης λιποφεγγέα νυκτὸς ὁμίχλην
Ἡρὼ λύχνον ἔφαινεν· ἀναπτομένοιο δὲ λύχνου,
Θυμὸν Ἔρως ἔφλεξεν ἐπειγομένοιο Λεάνδρου.
Λύχνῳ καιομένῳ συνεκαίετο· παρ δὲ θαλάσσῃ
Μαινομένων ῥοθίων πολυηχέα βόμβον ἀκούων,
Ἔκρινε μὲν τοπρῶτον, ἔπειτα δὲ θάρσος ἀείρας,
Τοίοισι προσέλεκτο παρηγορέων φρένα μύθοις,

Δεινὸς

Δεινὸς Ἔρως ϗ πόντος ἀμείλιχος· ἀλλὰ θαλάσσης
Ἐξίν ὕδωρ, τὸ δ' Ἔρωλος ἐμὲ φλέγει ἐνδόμυχον πῦρ.
Λάζεο πῦρ κραδίη, μὴ δείδιθι νύχυτον ὕδωρ,
Δεῦρό μοι εἰς φιλότητα. τί δὴ ῥοθίων ἀλεγίζεις;
Ἀγνώσσεις ὅτι Κύπρις ἀπόπορός ἐςι θαλάσσης,
Καὶ κρατέει πόντοιο, ϗ ἠμετέρων ὀδυνάων;
Ὣς εἰπὼν, μελέων ἐρατῶν ἀπεδύσατο πέπλον
Ἀμφοτέρῃς παλάμῃσιν, ἑῷ δ' ἔσφιγξε καρήνῳ·
Ἠϊόνα δ' ἐξῶρτο, δέμας δ' ἔρριψε θαλάσσῃ,
Λαμπομένῃ δ' ἔασευδεν ἀεὶ κατεναντία λύχνῃ,
Αὐτὸς ἐὼν ἐρέτης, αὐτόςολος, αὐτόματος νηῦς.
Ἠρὼ δ' ἠλιβάτοιο φαεσφόρος ὑψόθι πύργου,
Λιγυαλέης αὔρῃσιν ὅθεν πνεύσειεν ἀήτης,
Φάρεϊ πολλάκι λύχνον ἐπέσκεπεν, εἰσόκε Σηςῦ
Πολλὰ καμὼν Λείανδρος ἔβη ποτὶ ναύλοχον ἀκλὴν,
Καί μιν ἐὸν ποτὶ πύργον ἀνήγαγε· ἐκ δ' ὑπὸ θυράων
Νυμφίον ἀθμαίνοντα πεπλύξασα σιωπῇ,
Ἀφροκόμης ῥαθάμιγγας ἔτι ςάζοντα θαλάσσης,
Ἤγαγε νυμφοκόμοιο μυχὸς ἔπι παρθενεῶνος,
Καὶ χρόα πάντα κάθηρε, δέμας δ' ἔχριεν ἐλαίῳ
Εὐόδμῳ, ῥοδέῳ, ϗ ἁλίπνοον ἔσβεσεν ὀδμήν.
Εἰσέτι δ' ἀθμαίνοντα βαθυςρώτοις ἐνὶ λέκτροις
Νυμφίον ἀμφιχυθεῖσα φιλήνορας ἴαχε μύθους,
Νυμφίε, πολλὰ μόγησας, ἃ μὴ πάθε νυμφίος
ἄλλος.

Νύμφιε, πολλὰ μόγησας· ἅλις νύ τοι ἁλμυρὸν ὕδωρ,
Ὀδμή τ' ἰχθυόεσσα βαρυγδούποιο θαλάσσης.
Δεῦρο, τελὼ γαμετήν μ' ὑποδέχνυσο καὶ θαλάκοιτιν.
Ὡς ἡ μὲν ταῦτ' εἶπεν· ὁ δ' ἄσμενος ἤγαγε κούρην.
Ἦν γάμος, ἀλλ' ἀχόρευτος· ἔην λέχος, ἀλλ' ἄτερ ὕμνων.
Οὐ ζυγίην ἱερὴν τις ἐπεφήμησεν ἀοιδὸς,
Οὐ δαΐδων ἧψαπτε σέλας θαλαμηπόλον εὐνὴν,
Οὐδὲ πολυσκάρθμῳ τὶς ἐπεσκίρτησε χορείῃ,
Οὐχ ὑμέναιον ἄεισε πατὴρ καὶ πότνια μήτηρ·
Ἀλλὰ λέχος ςορέσασα τελεσιγάμοισιν ἐν ὥραις
Σιγὴ πασὸν ἔπηξεν, ἐνυμφοκόμησε δ' ὁμίχλη,
Καὶ γάμος ἦν ἀπάνευθεν ἀειδομένων ὑμεναίων.
Νὺξ μὲν ἔην κείνοισι γαμοςόλος· ἠδέποτ' ἠὼς
Νυμφίον εἶδε Λέανδρον ἀριγνώτοις ἐνὶ λέκτροις.
Νήχετο δ' ἀντιπέραιον πάλιν ποτὶ δῆμον Ἀβύδου.
Ἡρὼ δ' ἑλκεσίπεπλος ἐὺς λήθουσα τοκῆας,
Παρθένος ἠματίη, νυχίη γυνή. ἀμφότεροι Ὣ
Πολλάκις ἠρήσαντο κατελθέμεν ἐς δύσιν ἠῶ.
Ὡς οἱ μὲν φιλότητος ὑποκλέπτοντες ἀνάγκην,
Παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἠδ' ἐπὶ δηρὸν
Κρυπτόμενοι ἀπόναντο πολυπλάγκτων ὑμεναίων.
Δὴ γὰρ παχνήεντος ἐπήλυθε χείματος ὥρη
Φρικαλέας δονέουσα πολυσροφάλιγγας ἄέλλας,
Βένθεα δ' ἀςήρικτα ςυγεραὶ θέμεθλα θαλάσσης
Χειμέριοι πνείοντες ἀεὶ ςυφέλιζον ἀῆται,

Λαίλαπι

Λαίλαπι μαζίζοντες ὅλιον ἄλα· τυπ]ομένης ϗ,
Ἤδη νῆα μέλαιναν ἀπέκλασε διχθάδι χέρσῳ
Χειμερίην Ϲ ἄπισον ἀλυσκάζων ἅλα ναύτης.
Ἀλλ᾽ ὃ χειμερίης σε φόϐ῀ κατέρυκε θαλάσσης,
Καρτερόθυμε Λέανδρε· Ϻακτορίη δέ σε πύργῳ,
Ἠθάδα σημαίνουσα φαεσφορίην ὑμεναίων,
Μαινομένης ὤρυνεν ἀφειδήσαντα θαλάσσης,
Νηλειὴς Ϲ ἄπις῀. ὄφελε ϗ δύσμορ῀ Ἡρὼ,
Χείματ῀ ἰσαμένοιο, μένειν ἀπάνευθε Λεάνδρου,
Μηκέτ᾽ ἀναπ]ομένη μινυώριον ἀσέρα λέκτρων.
Ἀλλὰ πόθ῀ Ϲ μοῖρα βιήσατο· θελγομένη ϗ
Μοιράων ἀνέφαινε Ϲ ἀκέτι δαλὸν Ἐρώτων.
Νὺξ ἦν, εὖτε μάλιστα βαρυπνείοντες ἀῆται,
Χειμερίης πνοιῇσιν ἀκοντίζοντες ἀῆται,
Ἀθρόον ἐμπίπ]ουσιν ἐπὶ ῥηγμῖνι θαλάσσης.
Δὴ τότε Λείανδρός περ ἐθήμον῀ ἐλπίδι νύμφης
Δυσκελάδων πεφόρητο θαλασσαίων ἐπὶ νώτων.
Ἤδη κύματι κῦμα κυλίνδετο, σύγχυτο δ᾽ ὕδωρ,
Αἰθέρι μίσγετο πόντ῀· ἀνέχρετο πάντοθεν ἠχὴ
Μαρναμένων ἀνέμων· ζεφύρῳ δ᾽ ἀντέπνεεν εὖρ῀,
Καὶ νότ῀ ἐς βορέην μεγάλας ἀφέηκεν ἀπειλάς·
Καὶ κτύπ῀ ἦν ἁλίας῀ ἐρισμαράγοιο θαλάσσης.
Αἰνοπαθὴς ϗ Λέανδρ῀ ἀκηλήτοις ἐνὶ δίναις
Πολλάκι μὲ λιτάνευσε θαλασσαίην Ἀφροδίτην,
Πολλάκι δ᾽ αὐτὸν ἄνακτα Ποσειδάωνα θαλάσσης·

Ἀτθίδος ἐ βορέλω ἀμνήμονα κάλλιπε νύμφης.
Ἀλλά οἱ ἔτις ἄρηϕω. Ἔρως δ' οὐκ ἤρκεσε Μοίρας.
Πάντοθι δ' ἀχρομένοιο δυσαντέϊ κύμαλος ὁρμῇ
Τυπλόμενος ϖεφόρητο· ϖοδῶν δέ οἱ ὤκλασεν ὁρμὴ,
Καὶ θέν ἦν ἀδόνητον ἀκοιμήτων ϖαλαμάων.
Πολλὴ δ' αὐτόμαλος χύσις ὕδατος ἔῤῥεε λαιμῷ,
Καὶ ϖοτὸν ἀχρήϊσον ἀμαιμακέτε ϖίεν ἅλμης·
Καὶ δὴ λύχνον ἄπισον ἀπέσβεσε ϖικρὸς ἀήτης,
Καὶ ψυχλὺ ϛ ἔρωϛα ϖολυτλήτοιο Λεάνδρε.
Ἡ δ' ἔτι δηθύνοντος ἐπ' ἀχρύπνοισιν ὀπωπαῖς
Ἴσατο, κυμαίνεσα ϖολυκλαύϛοισι μερίμναις.
Ἦλυθε δ' ἠριγένεια, ϛ οὐκ ἴδε νυμφίον Ἡρώ.
Πάντοθι δ' ὄμμα τίταινεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Εἴπε ἐσαθρήσειεν ἀλώμενον ὃν ϖαλαιοίτλω
Λύχνε σβεννυμένοιο. Παρὰ κρηπῖδα ϔ ϖύργε
Θρυπλόμενον ϖιλάδεσσιν ὅτ' ἔδρακε νεκρὸν ἀκοίτλω,
Δαιδαλέον ῥήξασα ϖερὶ ϛήθεσσι χιτῶνα,
Ροιζηδὸν ϖροκάρηνος ἀπ' ἠλιβάτε ϖέσε ϖύργε.
Καδδ' Ἡρὼ τέθνηκε σὺν ὀλλυμένῳ ϖαλαιοίτῃ.
Ἀλλήλων δ' ἀπόναντο ϛ ἐν ϖυμάτῳ ϖερ ὀλέθρῳ.

ΠΥΘΑΓΟΡΟΥ

ΧΡΥΣΑ ΕΠΗ.

ΑΘΑΝΑΤΟΥΣ μὲν πρῶτα θεὺς, νόμῳ ὡς διακεῖται,
Τίμα, καὶ σέβου ὅρκον· ἔπειθ' ἥρωας ἀγαυὺς,
Τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων.
Τοὺς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας.
Τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.
Πραέσι δ' εἶκε λόγοις ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
Ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν ὕττως ἴσθι. κρατεῖν δὲ ἐθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, καὶ ἀργυρίου τε,
Καὶ θυμοῦ. πρήξῃς δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνῃσι ἄσκει, ἔργῳ τε λόγῳ τε.
Μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε·
Ἀλλὰ γνώθι μὲν ὡς θανέειν πέπρωται ἅπασι·
Χρήματα δ' ἄλλοτε μὲν κτᾶται φιλεῖ, ἄλλοτ' ὀλέκται.
Ὁσά τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν,
Ὧν ἂν μοῖραν ἔχῃς, πραέως φέρε, μηδ' ἀγανάκτει.
Ἰᾶσθαι δὲ πρέπει, καθόσον δύνῃ, ὧδε δὲ φράζου.

Οὐ πάνυ τοῖς ἀγαθοῖς τέτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε ἑ ἐθλοὶ
Προσπίπτεσ'· ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσης
Εἴργεσθ σαυτόν. ψεῦδος δ' ἦν περ τι λέγῃ),
Πράως ἴσχ'. ὃ δέ τοι ἐρέω, ἐπὶ παντί τελείδω·
Μηδείς μήτε λόγῳ σε παρείπῃ μήτέ τι ἔργῳ,
Πρῆξαι μηδ' εἰπεῖν ὅ,τι τοι μὴ βέλτερόν ἐσι.
Βελεύω ὃ πρὸ ἔργε, ὅπως μὴ μωρὰ πέλῃ).
Δειλῶ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀν-
δρός.
Ἀλλὰ τάδ' ἐκτελέειν ἄ σε μὴ μετέπειτ' ἀνιήσῃ.
Πρῆσε ὃ μηδὲν τῶν μὴ 'πίσασαι, ἀλλὰ διδάσκω
Ὅσσα χρεών· ἑ τερπνότατον βίον ὧδε διάξεις.
Οὐδ' ὑγιείης τ' περὶ σῶμ' ἀμέλειαν ἔχειν χρὴ,
Ἀλλὰ ποτῶ τε μέτρον ἑ σίτε γυμνασίων τε
Ποιεῖσθ· μέτρον ὃ λέγω τόδ' ὃ μή σ' ἀνιήσῃ.
Εἰθίζε ὃ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον·
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν πρὸ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων.
Μηδ' ἀνελεύθερος ἴδι. μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε ὃ ταῦθ' ἅ σε μὴ βλάψῃ· λόγισαι ὃ πρὸ
ἔργε.
Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθ,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξά-

Ἀρξάμην δ' ἀπὸ πρώτε ἐπέξιθι· ἢ μετέπειτα,
Δειλὰ μὴ ἐκπρήξας, ἅπλησσεο· χρησὰ ἔ, τέρπε.
Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα· τέτων χρὴ ἐρᾶν σε
Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει,
Ναὶ μὰ τὸν ἀμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν
Παγὰν ἀενάε φύσεως. ἀλλ' ἔρχε ἐπ' ἔργον,
Θεοῖσιν ἐπευξάμην τελέσαι. τέτων ἢ κρατήσας,
Γνώσῃ ἀθανάτων τε θεῶν θνητῶν τ' ἀνθρώπων
Σύγασιν, ἥ τε ἕκαστα διέρχεται, ἥ τε κρατεῖται.
Γνώσῃ δ', ἥ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην·
Ὡς σε μήτε ἄελπτ' ἐλπίζειν, μήτέ τι λήθειν.
Γνώσῃ δ' ἀνθρώπες αὐθαίρετα πήματ' ἔχοντας.
Τλήμονες, οἵτ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν,
Οὔτε κλύσι. λύσιν ἢ κακῶν παῦροι συνίασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· οἱ ἢ κυλίνδροις
Ἄλλοτ' ἐπ' ἄλλα φέρον, ἀπείρονα πήματ' ἔχοντας.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθεν
Σύμφυτος, ἣν ἐ δεῖ προσάγειν, εἰκοντα ἢ φεύγειν.
Ζεῦ πάτερ, ἢ πολλῶν γε κακῶν λύσειας ἅπαντας,
Ἢ πᾶσιν δείξας οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεσι, κρατήσεις ὧν σε κελεύω,
Ἐξακέσας, ψυχὴ ἢ πόνων ἅπο τῶνδε σαώσεις.
Ἀλλ' εἶργε βρωτῶν ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,

Ἐν τε λύσει ψυχῆς κρίνων· Ϲ φράζϐ ἔκαϛα,
Ἠνίοχον γνώμιν ϛήσας καθύπερθεν ἀρίϛιν.
Ἦν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσεαι ἀθάνατϘ θεὸς ἄμβροτϘ, οὐκ ἔτι θνητός.

ΚΑΛΛΙΜΑΧΟΥ

ΥΜΝΟΣ

Εἰς τὸν ΔΙΑ.

ΖΗΝΟΣ ἔοι τί κεν ἄλλο θεὰ ποσὶ δῆσιν ἀείδειν
Λώϊον, ἢ θεὸν αὐτὸν, ἀεὶ μέγαν, αἰὲν ἄνακτα;
Πηλογόνων ἐλατῆρα, δικασπόλον ἠρανίδῃσι;
Πῶς καί νιν, Δικταῖον ἀείσομεν, ἠὲ Λυκαῖον;
Ἐν δοιῇ μάλα θυμός· ἐπεὶ γένος ἀμφήριστον.
Ζεῦ, σὲ μὲ Ἰδαίοισιν ἐν ὄρεσι φασὶ γενέσθαι,
Ζεῦ, σὲ δ' ἐν Ἀρκαδίῃ· πότεροι, πάτερ, ἐψεύσαντο;
Κρῆτες ἀεὶ ψεῦσαι. καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο. σὺ δ' οὐ θάνες· ἐσσὶ γὰρ αἰεί.
Ἐν δέ σε Παρράσίῃ Ῥείη τέκεν, ἧχι μάλιστα
Ἔσκεν ὄρος θάμνοισι πεπυκασμένα. ἔνθεν ὁ χῶρος
Ἱερός. οὐδέ τί μιν κεχρημένον Εἰλειθυίης
Ἕρπετὸν, οὐδὲ γυνὴ ὠδῖνας ἔτικτεν. ἀλλά ἑ Ῥείης
Ὠγύγιον καλέουσι λεχώϊον Ἀπιδανῆες.
Ἐνθά σ' ἐπεὶ μήτηρ μεγάλων ἀπεθήκατο κόλπων,
Αὐτίκα δίζητο ῥόον ὕδατος, ᾧ κε τόκοιο
Λύματα χυλώσαιτο, τεὸν δ' ἐνὶ χρῶτα λοέσσαι.
Λάδων ἄλλ' ὄπω μέγας ἔρρεεν, οὐδ' Ἐρύμανθος
Λευκό-

Λευκότατος ποταμῶν. ἔτι δ' ἄβροχος ἦεν ἅπασα
Ἀρκαδίη· μέλλεν δέ μάλ' εὔυδρος καλέεσθαι
Αὖτις. ἐπεὶ τημόσδε Γέη ὅτ' ἐλύσατο μίτρῃ,
Ἣ πολλὰς ἐφύπερθε σαρωνίδας ὑγρὸς Ἰάων
Ἧειρεν, πολλὰς ᾗ Μέλας ὤχησεν ἀμάξας,
Πολλὰ ᾗ Καρίωνος ἄνω, διερῇ περ ἐόντος,
Ἰλυὺς ἐβάλοντο κινώπετα, νίσσετο δ' ἀνὴρ
Πεζὸς ὑπὲρ Κραθίν τε, πολύσειόν τε Μετώπῳ
Διψαλέος· τὸ ᾗ πολλὸν ὕδωρ ὑπὸ ποσσὶν ἔκειτο.
Καί ῥ' ὑπ' ἀμηχανίης ᾠομένη φάτο πότνια Ῥείη,
Γαῖα φίλη, τέκε κῇ σύ· τεαὶ δ' ὠδῖνες ἐλαφραί.
Εἶπε, κῇ ἀνταν ύσασα θεὰ μέγαν ὑψόθι πῆχυν,
Πλῆξεν ὄρος σκήπτρῳ· τὸ δέ οἱ δίχα πυκλὺ διέσχε,
Ἐκ δ' ἔχεεν μέγα χεῦμα. τόθι χρόα φαιδρύνασα,
Ὦνα, τεὸν ἀπείρωσε· Νέδῃ δέ σε δῶκε κομίσαι
Κόλπον ἔσω Κρηταῖον, (ἵνα κρύφα παιδεύοιο)
Πρεσβυτάτῃ νυμφέων αἳ μιν τότε μαιώσαντο,
Πρωτίσῃ ῥοῇ, μετά τε Στύγα, Φιλύρῃ τε.
Οὐδ' ἀλίην ἀπέτισε θεὴ χάριν, ἀλλὰ τὸ χεῦμα
Κεῖνο Νέδῃ ὀνόμηνε. τὸ μέν ποθι πυκλὺ καθ' αὐτὸ
Καυκώνων πολιέθρον, ὃ Λέπριον πεφάτισαι,
Συμφέρεται νηρῇϊ· παλαιότατον δέ μιν ὕδωρ
Υἱωνοὶ πίνεσι Λυκαονίης ἄρχοιο.
Εὖτε Θενὰς ἀπέλειπεν, ἐπὶ Κνωσσοῖο φέρουσα,
Ζεῦ πάτερ, ἣ νύμφη σε, (Θεναὶ δ' ἔσαν ἐγγύθι Κνωσσοῦ)

Τυ-

Τετάκι τοι πέσε, δαῖμον, ἀπ' ὀμφαλός. ἔνθεν ἐκεῖνα
Ὀμφάλιον μετέπειτα πέδον καλέεσι Κύδωνες.
Ζεῦ, σὲ ἦ Κυβάντων ἔταραι προσεπηχύναντο
Δικταῖαι Μελίαι, σὲ ἦ κοίμισεν Ἀδρήστεια
Λίκνῳ ἐνὶ χρυσέῳ· σὺ δ' ἐθήσαο πίονα μαζὸν
Αἰγὸς Ἀμαλθείης, ἐπὶ δὲ γλυκὺ κηρίον ἔβρως.
Γέντο γὰρ ἐξαπίνης Πανακρίδος ἔργα μελίσσης
Ἰδαίοις ἐν ὄρεσσι. τά τε κλείεσι Πάνακρα
Οὖλα ἦ Κρῆτές γε περὶ πρύλιν ὠρχήσαντο
Τεύχεα πεπλήγοντες, ἵνα Κρόνος ἔασιν ἠχλὺν
Ἀσπίδος εἰσαΐοι, ἢ μή σεο κυρίζοιεν.
Καλὰ μὲν ἤέξευ, καλὰ δ' ἔκραφες, ὠγύγιε Ζεῦ·
Ὀξὺ δ' ἀνήβησας, ταχινοὶ δέ τοι ἦλθον ἴυλοι.
Ἀλλ' ἔτι παιδνὸς ἐὼν ἐφράσσαο πάντα τέλεια·
Τῷ τοι ἢ γνωτοὶ, προτερηγενέες περ ἐόντες,
Οὐρανὸν οὐκ ἐμέγηραν ἔχειν Ὀλυμπήϊον οἶκον.
Δίωνοι δ' ὑ πάμπαν ἀληθέες ἦσαν ἀοιδοί.
Φάντο πάλον Κρονίδῃσι Διὶ τείχια δώματα νεῖμαι·
Τίς δέ κ' ἐπ' ὐλύμπῳ τε καὶ αἴθρι κλῆρον ἐρύσσαι,
Ὅς μάλα μὴ νενίηλος; ἐπ' ἰσαίῃ γὰρ ἔοικε
Πήλαι· τὰ δὲ τόσσον ὅσον Διὶ πλεῖον ἔχουσι.
Ψευδοίμην αἴ κεν πεπίθοιεν ἀκοιτιν.
Οὔ σε θεῶν ἐσσῆνα πάλοι θέσαν, ἔργα δὲ χειρῶν,
Ἥ τε Βίη, τό τε Κάρτος, ὃ ἢ πέλας εἵσαο δίφρου.
Θῆκαο δ' οἰωνὸν μέγ' ὑπείροχον ἀγγελιώτην

Σῶν

Σῶν τεράων· ἄτ' ἐμοῖσι φίλοις ἐνδέξια φαίνοις.
Εἴλεο δ' αἰζηῶν ὅ,τι φέρταλον· ὐ σύ γε νηῶν
Ἐμπεράμυς δκ ἄνδρα σακέσπαλον, ὐ μὶ ἀοιδόν.
Ἀλλὰ τὰ μὶ μακάρεσσιν ὀλίζοσιν αὖθι πορῆκας,
Ἄλλα μέλειν ἑτέροισι. σὺ δ' ἐξέλεο πολιάρχυς
Αὐτύς, ὧν ὑπὸ χεῖρα γεωμόρυ, ὧν ἴδρις αἰχμῆς,
Ὧν ἐρέτης, ὧν πάντα· (τί δ' ὐ κρατέονλος ὑπ' ἰχύν;)
Αὐτίκα χαλκῆας μὶ ὑδείομλυ Ἡφαίςοιο·
Τευχησὰς δ' Ἀρῆυ· ἐπακτῆρας ἧ Χιτώνης
Ἀρτέμιδυ· Φοίβυ δὲ, λύρης εὖ εἰδότας οἴμυς.
Ἐκ δὲ Διὸς βασιλῆες. ἐπεὶ Διὸς ὐδὲν ἀνάκλων
Θειότερον· τῷ καί σφι τελὼ ἐκρίναο λῆξιν·
Δῶκας δὲ πολίεθρα φυλασσέμλυ· ἵζεο δ' αὐτὸς
Ἄκρης ἐν πολίεσσιν, ἐπόψιυ· οἵ τε δίκῃσι
Λαὸν ὑπὸ σκολιῆς, οἵ τ' ἔμπαλιν ἰθύνυσιν.
Ἐν ἧ ῥυηφενίην ἔβαλές σφισιν, ἐν δ' ἄλις ὄλβυ·
Πᾶσι μὶ, ὐ μάλα δ' ἶσον. ἔοικε δὲ τεκμήραδζ
Ἡμετέρῳ μεδέοντι· περὶ πρὸ γὰρ εὐρὺ βέβηκεν.
Ἐσπέριυ κεῖνός γε τελεῖ τά κεν ἠοῖ νοήσῃ·
Ἐσπέριυ τὰ μέγισα, τὰ μείονα δ' εὖτε νοήσῃ.
Οἱ ἧ τὰ μὶ πλειῶνι, τὰ δ' ὐχ' ἑνί· τῶν δ' ἀπὸ πάμπαν
Αὐτὸς ἄνλω ἐκόλυσας, ἐνέκλασας δὲ μλυοινλύ.
Χαῖρε μέγα, Κρονίδη πανυπέρτατε, δῶτορ ἑάων,
Δῶτορ ἀπημονίης. τεὰ δ' ἔργμαδα τίς κεν ἀείδοι;
Οὐ γένετ', δκ ἔσαι· τίς κεν Διὸς ἔργματ' ἀείσαι;

Χαῖρε,

Χαῖρε, πάτερ, χαῖρ' αὖθι· δίδυ δ' ἀρετήν τ' ἄφενός τε.
Οὔτ' ἀρετῆς ἄτερ ὄλβος ἐπίσσεται ἀνδρὸς ἀέξειν,
Οὔτ' ἀρετῆς ἀφένοιο. δίδυ δ' ἀρετλύ τε καὶ ὄλβον.

Τοῦ αὐτοῦ

Εἰς τὸν ΑΠΟΛΛΩΝΑ

ΥΜΝΟΣ.

Οἷον ὁ τῶν πόλλων ἐσείσατο δάφνιδος ὄρπηξ,
Οἷα δ' ὅλον τὸ μέλαθρον. ἑκὰς, ἑκὰς, ὅστις ἀλιτρός.
Καὶ δή που τὰ θύρετρα καλῷ ποδὶ Φοίβος ἀράσσει.
Οὐχ ὁράας; ἐπένευσεν ὁ Δήλιος ἡδύ τι φοινιξ
Ἐξαπίνης, ὁ δὲ κύκνος ἐν ἠέρι καλὸν ἀείδει.
Αὐτοὶ νῦν καθοχῆες ἀνακλίνεσθε πυλάων,
Αὐταὶ δὲ κληῖδες· ὁ γὰρ θεὸς ἐγγύθεν ἤδη.
Οἱ δὲ νέοι μολπλύ τε καὶ ἐς χορὸν ἐντύνεσθε.
Ὦ πόλλων ὁ πανταὶ φαείνεις, ἀλλ' ὅτις ἐσθλός.
Ὅς μιν ἴδῃ, μέγας ἔστω· ὃς οὐκ ἴδε, λιτὸς ἐκεῖνος.
Ὀψόμεθ', ὦ Ἑκάεργε, καὶ ἐσσόμεθ' ἄπποτε λιτοί.
Μήτε σιωπηλιὴ κίθαριν, μήτ' ἄψοφον ἴχνος
Τοῦ Φοίβου τὰς παῖδας ἔχειν ὑπεδημήσαντος,
Εἰ τελέειν μέλλυσι γάμον, πολιλύ τε κερεῖσθαι.
Ἐσήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις.
Ἠγασάμιν τὰς παῖδας, ἐπεὶ χέλυς ἔκετ' ἀέργος.

Εὐφη-

Εὐφημεῖτ' αἴοντες ἐπ' Ἀπόλλωνα ἀοιδῇ.
Εὐφημεῖ καὶ πόντος, ὅτε κλείουσιν ἀοιδοὶ
Ἢ κίθαριν, ἢ τόξα, Λυκωρέος ἔντεα Φοίβου.
Οὐδὲ Θέτις Ἀχιλῆα κινύρεται αἴλινα μήτηρ,
Ὁππότ' ἰὴ παιῆον, ἰὴ παιῆον ἀκούσῃ.
Καὶ μὲν ὁ δακρυόεις ἀναβάλλεται ἄλγεα πέτρος,
Ὅς τις ἐνὶ Φρυγίῃ διερὸς λίθος ἐσήρικται,
Μάρμαρον ἀντὶ γυναικὸς ὀϊζυρόν τι χανούσης.
Ἰὴ, ἰὴ φθέγγεσθε· καλὸν μακάρεσσιν ἐρίζειν.
Ὅς μάχεται μακάρεσσιν, ἐμῷ βασιλῆϊ, μάχοιτο.
Ὅς τις ἐμῷ βασιλῆϊ, καὶ Ἀπόλλωνι μάχοιτο.
Τὸν χορὸν ὦ πόλλων, ὅτι οἱ κατὰ θυμὸν ἀείδει,
Τιμήσει. δύνατ' γὰρ, ἐπεὶ Διὶ δεξιὸς ἦσαι.
Οὐδ' ὁ χορὸς μοῦνον Φοῖβον ἐφ' ἓν μόνον ἦμαρ ἀείσει;
Ἔσι γὰρ εὔυμνος· τίς ἂν ἐ ῥέα Φοῖβον ἀείδοι;
Χρύσεα τῷ πόλλωνι, τό, τ' ἐνδυτὸν, ἠτ' ἀπορπὶς,
Ἥ τε λύρη, τό, τ' ἄεμμα τὸ Λύκτιον, ἥ τε φαρέτρη·
Χρύσεα τὰ πέδιλα. πολύχρυσος γὰρ Ἀπόλλων,
Καί τε πολυκλέανος. Πυθῶνί κε τεκμήραιο.
Καί κεν ἀεὶ καλὸς εἀεὶ νέος· ὅππότε Φοίβε
Θηλείαις ὐδ' ὅσσον ἐπὶ χνόος ἦλθε παρειαῖς.
Αἱ δὲ κόμαι θυόεντα πέδῳ λείβουσιν ἔλαια.
Οὐ λίπος Ἀπόλλωνος ἀποζώουσιν ἔθειραι,
Ἀλλ' αὐτῇσι πανάκειαν. ἐν ἄσει δ' ᾧ κεν ἐκεῖναι
Πρῶκες ἔραζε πέσωσιν, ἀκήρια πάντ' ἐγένοντο.

Τέχνη

Τέχνῃ δ' ἀμφιλαφὴς ἔτις τόσον ὅσον Ἀπόλλων.
Κεῖνος οἰζυτιὼ ἔλαχ' ἀνέρα, κεῖνος ἀοιδόν.
Φοίβῳ γὰρ ἡ τόξον ὑπερέπε) ἐ ἀοιδή.
Κείνῳ ἢ θρηΐ, ἐ μάντιες· ἐκ δέ νυ Φοίβῳ
Ἰητροὶ δεδάασιν ἀνάβλησιν θανάτοιο.
Φοῖβον ἐ Νόμιον κικλήσκομεν, ἐξ ἔτι κείνῳ
Ἐξότ' ἐπ' Ἀμφρυσῷ ζευγήτιδας ἔτρεφεν ἵππους,
Ἠϊθέῳ ὑπ' ἔρωτι κεκαυμένος Ἀδμήτοιο.
Ῥεῖά κε βεβόσιον τελέθοι πλέον, ἠδέ κεν αἶγες
Δεύοιντο βρεφέων ὑπημελάδες, ἧσιν Ἀπόλλων
Βοσκομένης ὀφθαλμὸν ἐπήγαγεν. ἠδ' ἀγάλακτοι
Οἶες, ἠδ' ἄκυθοι, πᾶσαι δέ κεν εἶεν ὔπαρνοι.
Ἡ δέ κε μυνοτόκος, διδυματόκος αἶψα γένοιτο.
Φοίβῳ δ' ἑσπόμενοι πόλιας διεμετρήσαντο
Ἄνθρωποι. Φοῖβος γὰρ ἀεὶ πολίεσσι φιλήδει
Κτιζομένοισι, αὐτὸς ἢ θεμείλια Φοῖβος ὑφαίνει.
Τετραέτης τὰ πρῶτα θεμείλια Φοῖβος ἔπηξε
Καλῇ ἐν Ὀρτυγίῃ πρηνέος ἐγγύθι λίμνης.
Ἄρτεμις ἀγρώσσουσα καρήατα συννεχὲς αἰγῶν
Κυνθιάδων φορέεσκεν, ὁ δ' ἔπλεκε βωμὸν Ἀπόλλων.
Δείματο μὲν κεράεσσιν ἐθέλια, πῆξε ἢ βωμὸν
Ἐκ κεράων, κεραὲς ἢ πέρι ὑπεβάλλετο τοίχους.
Ὧδ' ἔμαθεν τὰ πρῶτα θεμείλια Φοῖβος ἐγείρειν.
Φοῖβος ἐ βαθύγειον ἐμὴν πόλιν ἔφρασε Βάττῳ·
Καὶ Λιβύῃ ἐσιόντι κόραξ ἡγήσατο λαῷ

Δεξιὸς οἰκιςὴρ· χ᾽ ὤμοσε τείχεα δώσειν
Ἡμετέροις βασιλεῦσιν· ἀεὶ δ᾽ εὔορκος Ἀπόλλων.
Ὦ Ἄπολλον, πολλοί σε Βοηδρόμιον καλέουσι,
Πολλοὶ δ᾽ Κλάρμον· (πάντη δέ τοι ἔνομα πολὺ)
Αὐταὶρ ἐγὼ Καρνεῖον· ἐμοὶ πατρώϊον ἔτω.
Σπάρτη τοι, Καρνεῖε, τόδε πρώτιςον ἔδεθλον,
Δεύτερον αὖ Θήρη, τρίτατόν γε μὲ ἄςυ Κυρήνη.
Ἐκ μέν σε Σπάρτης ἕκτον γένος Οἰδιπόδαο
Ἤγαγε Θηραίλω ἐς ἀποίκτισιν· ἐκ δέ σε Θήρης
Οὖλος Ἀρκεσιλᾶος Ἀσβυςίδι πάρθετο γαίη·
Δεῖμε δέ τοι μάλα καλὸν ἀνάκλορον· ἐν δὲ πόληι
Θῆκε τελεσφορίλω ἐπετήσιον, ἢ ἔνι πολλοὶ
Ὑςάτιον πίπλουσιν ἐπ᾽ ἰχίον, ὦ ἄνα, ταῦροι.
Ἰὴ ἰή, Καρνεῖε πολύλλιτε, σεῖο δὲ βωμοὶ
Ἄνθεα μὲ φορέουσιν ἐν εἴαρι, τόσσά περ ὥραι
Ποικίλ᾽ ἀγινεῦσι ζεφύρου πνείοντος ἐέρσηι,
Χείματι δὲ κρόκον ἡδύν. ἀεὶ δέ τοι ἄέναον πῦρ,
Οὐδέ ποτε χθιζὸν σβεςόσκεν ἄνθρακα τέφρη.
Ἦ ῥ᾽ ἐχάρη μέγα Φοῖβος, ὅτε ζωςῆρες Ἐνυῆς
Ἄνέρες ὠρχήσαντο μετ᾽ ξανθῆσι Λιβύσσης,
Τέθμια εὖτέ σφιν Καρνειάδες ἤλυθον ὧραι.
Οἱ δ᾽ ὅπω πηγῆς Κυρνῆς ἐδύναντο πελάσσαι
Δωριέες, πυκινὼ δὲ νάπαις Ἄζιλιν ἔναιον.
Τὺς μὲ ἄναξ ἴδεν αὐτὸς, ἐπὶ δ᾽ ἐπεδείξατο νύμφη
Στὰς ἐπὶ Μυρτούσης κερατώδεος. ἦχι λέοντα

Ὑψηΐς κατέπεφνε, βοῶν σίνιν Εὐρυπύλοιο.
Οὐ κείνῳ χορὸν εἶδε θεώτερον ἄλλον Ἀπόλλων,
Οὐδὲ πόλει τόσ' ἔνειμφ ὀφέλσιμα τόσα Κυρήνη,
Μνωόμφῳ προτέρης ἁρπακλύῳ. ἠδὲ μὴ αὐτοὶ
Βατιάδαι Φοίβοιο πλέον θεὸν ἄλλον ἔτισαν.
Ἰὴ ἰὴ παιῆον, ἀκέομφ, ἕνεκα τᾶτο
Δελφός τοι πρώτιστον ἐφύμνιον εὕρετο λαὸς,
Ἥμῳ ἑκηβολίην χρυσέων ἐπεδείκνυσο τόξων.
Πυθώ τοι κατιόντι συνήντετο δαμόνιος θὴρ,
Αἰνὸς ὄφις. τὸ μὴ σὺ καθήναρες, ἄλλον ἐπ' ἄλλῳ
Βάλλων ὠκὺν ὀϊστόν. ἐπηὔτησε δὲ λαὸς,
Ἰὴ ἰὴ παιῆον, ἵει βέλος. εὐθύ σε μήτηρ
Γείνατ' ἀοσητῆρα· τὸ δ' ἐξ ἔτι κεῖθεν ἀείδη.
Ὁ φθόνος Ἀπόλλωνος ἐπ' ἄκλα λάθρμος εἶπεν,
Οὐκ ἄγαμαι τ' ἀοιδὸν, ὃς ὐδ', ὅσα πόντος, ἀείδει.
Τὸν φθόνον ὦ πόλλων ποδί τ' ἤλασεν, ὧδέ τ' ἔειπεν·
Ἀσυρίῳ ποταμοῖο μέγας ῥόος, ἀλλὰ τὰ πολλὰ
Λύματα γῆς ἐς πολλὸν ἐφ' ὕδατι συρφετὸν ἕλκει.
Δηοῖ δ' οὐκ ἀπὸ παντὸς ὕδωρ φορέυσι Μέλισσαι,
Ἀλλ' ἥτις καθαρή τε ἐς ἀχράαντος ἀνέρπει
Πίδακος ἐξ ἱερῆς ὀλίγη λιβὰς, ἄκρον ἄωτον.
Χαῖρε ἄναξ· ὁ ὢ Μῶμος, ἵν' ὁ φθόρος, ἔνθα νέοιτο.

ΠΙΝΔΑΡΟΥ

ΤΩΝ ΟΛΥΜΠΙΩΝ ΕΙΔΟΣ Β'.

ΘΗΡΩΝΙ Ακραγαντίνῳ, ἅρματι.

στρο. ά. κώ. ιδ'.

ΑΝΑΞΙΦΟΡΜΙΓΓΕΣ ὕμνοι,
τίνα θεὸν, τίν' ἥρωα,
τίνα δ' ἄνδρα κελαδήσομεν;
ἦτοι Πίσα μέν, Διός·
Ὀλυμπιάδα δ' ἔσα-
σεν Ἡρακλέης,
ἀκρόθινα πολέμου.
Θήρωνα δ' ἐπ τετραορίας
ἕνεκα νικαφόρου
γεγωνητέον ὀπί,
δίκαιον ξένον,
ἔρεισμ' Ἀκράγαντος,
εὐωνύμων τε πατέρων
ἄωτον, ὀρθόπολιν·

ἀντιστρ. ά. κώ. ιδ'.

καμόντες οἳ πολλὰ θυμῷ,
ἱερὸν ἔχον οἴκημα

ποτα-

ποταμῦ, Σικελίας τ᾽ ἔσαν
ὀφθαλμός· αἰών τ᾽ ἔφε-
πε μόρσιμ῵, πλυτόν
τε χ᾽ χάρμ᾽ ἄγων
γνησίαις ἐπ᾽ ἀρεταῖς.
ἀλλ᾽ ὦ Κρόνιε, παῖ Ῥέας,
ἔδ῵ ὀλύμπυ νέμων,
ἀέθλων τε κορυφὰν,
πόρον τ᾽ Ἀλφεῦ,
ἰανθεὶς ἀοιδαῖς,
εὔφρων ἄρεραν ἔτι πα-
τρίαν σφίσιν κόμισον

ἐπῳ. ά. κώ. ή.

" λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
" ἐν δίκᾳ τε ☾ πᾷ δίκαν
" ἀποίητον ὐδ᾽ ἂν
" χρόν῵ ὁ πάντων πατὴρ
" δύναιτο θέμεν ἔργων τέλ῵.
" λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ᾽ ἄν.
" ἑσλῶν γὰρ ὑπὸ χαρμάτων
" πῆμα θνάσκει πολύγκοτον, δαμασθὲν,

στροφὴ β΄. κώ. ιδ΄.

" ὅταν Θεῦ μοῖρα πέμπῃ

" ἀνεκὰς

" ἀνεκὰς ὄλβον ὑψηλόν.
ἔπε) δὲ λόγ@ εὐθρόνοις
Κάδμοιο κέραις, ἔπα-
θον αἰ μεγάλα. πένθ@
" δὲ πιτνεῖ βαρὺ
" κρεσσόνων πρὸς ἀγαθῶν.
ζώει μὲ ἐν ὀλυμπίοις,
ἀποθανοῖσα βρόμῳ
κεραυνῷ, τανυέθει-
ρα Σεμέλα· φιλεῖ
δέ μιν Παλλὰς αἰεὶ,
Ζεὺς πατὴρ μάλα· φιλεῖ
δὲ παῖς ὁ κισσοφόρ@.

ἀντιστροφὴ β'. κώ. ιδ'.

λέγοντι δ' ἐν χ᾽ θαλάσσᾳ,
μ᾽ κόραισι Νηρῆ@
ἁλίαις, βίοτον ἄφθιτον
Ἰνοῖ τετάχθαι, τὸν ὅ-
λον ἀμφὶ χρόνον. ἤτοι
" βροτῶν κέκρι)
" πεῖρας ἔτι θανάτ@,
" ἀδ' ἀσύχιμον ἀμέραν
" ὁπότε παῖδ' Ἀλίᾳ
" ἀτειρεῖ σὺν ἀγαθῷ

" τελθ-

" τελευτάσομεν.
" ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
" εὐθυμίαν τε μέτα, €
" πόνων ἐς ἄνδρας ἔβαν.

ἐπωδὸς β'. κώ. ή.

ὅτω δὲ μοῖρ', ἄ τε παγρώϊον
τῶν δ' ἔχει τ' εὔφρονα πότμον
θεόρτῳ σὺν ὄλβῳ,
ἐπί τι € πῆμ' ἄγει
παλιντράπελον ἄλλῳ χρόνῳ,
ἐξ ὅπερ ἔκτεινε Λάϊον μόρμος υἱὸς
συναντόμενος, ἐν δὲ Πυ-
θῶνι χρηθὲν παλαίφατον τέλεσεν.

στροφὴ γ'. κώ. ιδ',

ἰδοῖσα δ' ὀξεῖ' Ἐρινὺς
πέφνεν ἑοῖ σὺν ἀλλαλο-
φονίᾳ γένος ἡήϊον.
λείφθη δὲ Θέρσανδρος ἐ-
ρισπόντι Πολυνείκει,
νέοις ἐν ἀέθλοις,
ἐν μάχαις τε πολέμου
τιμώμενος, Ἀδρασιδᾶν
θάλος ἡγεμονὸν δόμοις,

ἔθεν ἀπέρμαλ@ ἔχον-
τα ῥίζαν, πρέπει
τὸν Αἰνησιδάμυ
ἐγκωμίων τε μελέων
λυρᾶν τε τυγχανέμμ.

ἀντισρ. γ'. κώ. ιδ'.

Ὀλυμπίᾳ μὲ γὰρ αὐτὸς
γέρας ἔδεκτο· Πυθῶνι
δ' ὁμόκλαρον ἐς ἀδελφεὸν,
Ἰθμοῖ τε, κοιναὶ χάρι-
τες ἄνθεα τεθρίππων
δυωδεκαδρόμων
" ἄγαγον. τὸ δὲ τυχεῖν
" πειρώμμον ἀγωνίας,
" πάλυει δυσφρόνων.
" ὁ μὰν πλῦτ@ χρεταῖς
" δεδαιδαλμέν@,
" φέρει τῶν τε Ϲ τῶν
" καιρὸν, βαθεῖαν ὑπέχων
" μέρμναν, ἀγροτέραν,

ἐπῳδὸς γ'. κώ. ή.

ἀσὴρ χρίζηλ@, ἀλαθινὸν
ἀνδρὶ φέγγος. εἰ δέ μιν ἔχει

τὶς,

τὶς, οἶδεν τὸ μέλλον,
ὅτι θανόντων μὴ ἐν-
θάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
ποιναὶς ἔτισαν· τὰ δ' ἐν τᾷ δε Διὸς δέχᾳ
" ἀλιτρὰ, κᾆ γᾶς δικά-
" ζει τὶς, ἐχθρᾷ λόγον φράσας ἀνάγκᾳ.

στροφὴ δ'. κώ. ιδ'.

ἴσον ἢ νύκτεσσιν αἰεὶ,
ἴσα δ' ἐν ἀμέραις ἄλι-
ον ἔχοντες, ἀπονέστερον
ἐσλοὶ νέμον) βίο-
τον, ἃ χθόνα ταρβάσοντ-
τες ἀλκᾷ χερῶν,
ἃδὲ πόντιον ὕδωρ,
" κεινὰν πᾶρὰ δίαιταν· ἀλ-
" λὰ πᾶρὰ μὴ τιμίοις
" θεῶν, οἵτινες ἔχαι-
" ρον εὐορκίαις,
" ἄδακρυν νέμον)
" αἰῶνα· τοί δ' ἀπροσόρα-
" τον ὀκχέοντι πόνον.

ἀντιστροφὴ δ'. κώ. ιδ'.

" ὅσοι δ' ἐτόλμασαν ἐς τρὶς

" ἑκα-

" ἑκατέρωθι μείναντες,
" ἀπὸ πάμπαν ἀδίκων ἔχειν
" ψυχὰν, ἔτειλαν Διὸς
" ὁδὸν πρὰ Κρόνυ τύρ-
" σιν· ἔνθα μακάρων
νᾶσον ὠκεανίδες
αὔρᾳ πνείπνέυσιν, ἄν-
θεμα ᾧ χρυσῦ φλέγει,
τὰ μὲ χερσόθεν ἀπ' ἀ-
γλαῶν δενδρέων,
ὕδωρ δ' ἄλλα φέρβει·
ὅρμοισι τῶν χέρας ἀνα-
πλέκοντι κὴ σεφάνοις,

ἐπῳ. δ'. κώ. ή.

βυλαῖς ἐν ὀρθαῖς Ῥαδαμάνθυ,
ὃν πατὴρ ἔχει Κρόν ἑτοῖ-
μον αὐτῷ πάρεδρον,
πόσις ὁ πάντων Ῥέας
ὑπέρτατον ἐχοίσας θρόνον.
Πηλεύς τε κὴ Κάδμ ἐν τοῖσιν ἀλέγον.
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ
Ζηνὸς ἦτορ λιταῖς ἔπεισε, μάτηρ.

στροφὴ έ. κώ. ιδ'.

ὃς Ἕκτορ' ἔσφαλε Τροίας

ἅμα-

ἄμαχον, ἀσραβῆ κίο-
να· Κύκνον τε θανάτῳ πόρεν,
Ἄϊς τε παῖδ' Αἰθίο-
πα. πολλά μοι ὑπ' ἀγκῶ-
νος ὠκέα βέλη
ἔνδον ἐντὶ φαρέτρας
φωνᾶντα συνετοῖσιν· ἐς
δὲ τὸ πᾶν ἑρμηνέων
" χατίζει. σοφὸς ὁ πολ-
" λὰ εἰδὼς φυᾷ·
" μαθόντες δὲ, λάβροι
" παγγλωσσία, κόρακες ὡς,
" ἄκραντα γαρύετον

ἀντιστροφὴ ἑ. κώ. ιδ'.

" Διὸς πρὸς ὄρνιχα θεῖον,
" ἔπεχε νῦν σκοπῷ τόξον·
ἄγε θυμὲ, τίνα βάλλομαι,
ἐκ μαλθακᾶς αὖτε φρε-
νὸς εὐκλέας ὀϊστὸς
ἵεντες; ἐπί τοι
Ἀκράγαντι τανύσας,
αὐδάσομαι ἐνόρκιον
λόγον ἀλαθεῖ νόῳ,
τεκεῖν μήτιν' ἑκατὸν

γ' ἐτέων

γ' ἐτέων πόλιν
φίλοις ἄνδρα μᾶλλον
εὐεργέταν παρπίσιν, ἀ-
φθονέστερόν τε χέρα,

ἐπῳ. έ. κώ. ή.

Θήρων. ἀλλ' αἶνον ἔβα κόρ.,
ἐ δίκᾳ συναντόμῳ., ἀλ-
λὰ μάργων ὑπ' ἀνδρῶν
τὸ λαλαγῆσαι θέλων,
κρύφον τε θέμῳ ἐσλῶν, κακοῖς
ἔργοις. ἐπεὶ ψάμμ. ἀριθμὸν πεπέφευ-
γω, κεῖν. ὅσα χάρματ' ἄλ-
λοις ἔθηκεν, τίς ἂν φράσαι δύναιτο;

Τῦ αἰτῦ

ΤΩΝ ΝΕΜΕΩΝ ΕΙΔΟΣ Α΄.

ΧΡΟΜΙΩ Αἰτναίῳ, ἅρματι.

στροφὴ ά. κώ. ί.

Ἄμπνευμα σεμνὸν Ἀλφεῦ,
κλεινᾶν Συρακοσᾶν θάλος, Ὀρτυγία,
δέμνιον Ἀρ]άμιδος,
Δάλε κασιγνήτα, σέθεν ἀδυεπὴς
ὕμνος ὁρμᾶται θέμεν
αἶνον ἀελλοπόδων μέγαν ἵππων,
Ζηνὸς Αἰτναίᾳ χάριν.
ἅρμα δ' ὀρθοῖ Χρομίᾳ Νεμέα
θ' ἕργμασιν νικαφόροις
ἐγκώμιον ζεῦξαι μέλος.

ἀντιστρ. ά. κώ. ί.

" ἀρχαὶ δ' ἁ βέβληται θεῶν,
" κείνᾳ σὺν ἀνδρὸς δαιμονίαις χέρσαις,
" ἔστι δ' ἐν εὐτυχίᾳ
" πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
" Μοῖσα μεμναμένοις φιλεῖ.

Ἔγειρε

Εγειρε νῦν ἀγλαΐαν τινὰ νάσῳ,
τὰν Ὀλύμπιε δεσπότας
Ζεὺς ἔδωκεν Περσεφόνᾳ, κατενδυ-
σέν τέ οἱ χαίταις, χρι-
σεύοισαν εὐκάρπιε χθονὸς,

ἐπῳ. ά. κώ. ή.

Σικελίαν πίειραν ὀρθώ-
σειν, κορυφαῖς πολίων ἀφνειαῖς.
ὤπασε Ϝὴ Κρονίων
πολέμιε μναστῆρά οἱ χαλκεντέα
λαὸν ἵππαιχμον, θαμὰ δὴ χ' Ὀλυμ-
πιάδων φύλλοις ἐλαᾶν
χρυσέοισι μιχθέντα. πολλῶν ἐπέβαν,
καιρὸν ὃ ψεύδει βαλών.

στρο. β'. κώ. ί.

ἔσαν δ' ἐπ' αὐλείαις θύραις
ἀνδὸς φιλοξείνε, καλὰ μελπόμενα.
ἔνθά μοι ἁρμόδιον
δεῖπνον κεκόσμηϜ'. θαμὰ δ' ἀλλοδαπῶν
οὐκ ἀπείρατοι δόμοι
ἐντί. λέλογχε Ϝὴ μεμφομένοις ἐσ-
λως ὕδωρ καπνῷ φέρειν
" ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι

" χρὴ

" χρὴ δ' ἐν εὐθείαις ὁδοῖς
" σείχοντα μάρναθ' φυᾷ.

ἀντισροφὴ β'. κώ. ί.

" πράσσει γὰρ ἔργῳ μὴ θέν@,
" βυλαῖσι ἢ φρὶν, ἐσόμενον προϊδεῖν
" συγγενὲς οἷς ἔπε).
'Αγησιδάμυ παῖ, σέο δ' ἀμφὶ κόπῳ
τῶν τε Ϲ τῶν χρήσιες.
" οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλῦ-
" τον καλακρύψας ἔχειν·
" ἀλλ' ἐόντων, εὖ τε παθεῖν, Ϲ ἀκῦ-
" σαι, φίλοις ἐξαρκέων.
" κοιναὶ γὰρ ἔρχονθ' ἐλπίδες

ἐπῳδὸς, β'. κώ. ή.

" πολυπόνων ἀνδρῶν. ἐγὼ δ' 'Η-
ρακλέ@ ἀντέχομαι προφρόνως,
ἐν κορυφαῖς δρετᾶν
μεγάλαις δ' ἀρχαῖον ὀτρύνων λόγον·
ὡς, ἐπεὶ σπλάγχνων ὑπὸ ματέρ@ αὐ-
τίκα θαητὰν ἐς αἴγλαν
παῖς Διὸς, ὠδῖνα φεύγων, διδύμῳ
σὺν κασιγνήτῳ μόλεν.

σροφ. γ'. κώ. ί.

ὡς τ' ἐ λαθὼν χρυσόθρονον

'Ηραν,

Ἥραν, κροκωτὸν παάργανον ἐγκατέβα.
ἀλλὰ θεῶν βασίλεια
πέρχθεισα θυμῷ, πέμπε δράκοντας,
τοὶ μὶ, οἰχθεισᾶν πυλᾶν,
ἐς θαλάμυς μυχὸν εὐρὺν ἔβαν, τέ-
κνοῖσιν ὠκείας γνάθυς
ἀμφελίξαντς μεμαῶτες· ὁ δ' ὀρ-
θὸν μὶ ἄντεινεν κάρα,
πειρᾶτο ϗ πρῶτον μάχας,

ἀντισρ. γ'. κώ. ί.

διδαιῖσι δοιὺς αὐχένων
μάρψας ἀφύκλοις χερσὶν ἑαῖς ὄφιας·
ἀγχομένοις ϗ χρόνῳ
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
ἐκ δ' ἄρ' ἄτλαλον δέμας
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμή-
νας δρήγοισαι λέχει.
ἃ γὰρ αὐτὰ πόδεσσιν ἄπεπλος ὀρέ-
σασ' ἀπὸ στρωμνᾶς, ὅμως
ἄμυνεν ὕβριν κνωδάλων.

ἐπῳ. γ'. κώ. ή.

ταχὺ ϗ Καδμείων ἀγοὶ χαλ-
κέοις σὺν ὅπλοις ἀθρόοι ἔδραμον.

ἐν

ἐν χερὶ δ' Ἀμφιτρύων
κολεῷ γυμνὸν φάσγανον τινάσσων
ἵκετ', ὀξείαις ἀϊόσι τυπείς.
" τὸ γὰρ οἰκεῖον πιέζει
" πάνθ' ὁμῶς· εὐθὺς δ' ἀπήμων καρδία
" κἀδδ. ἀμφ' ἀλλότριον.

στροφ. δ'. κώ. ί.

ἔστα δὲ θάμβει δυσφόρῳ
τερπνῷ τε μιχθείς· εἶδε γὰρ ἐκνάμιον
λῆμά τε Ϲ δύναμιν
ᾗ̃ς. παλίγλωσσον δέ οἱ ἀθάνατοι
ἀγγέλων ῥῆσιν θέσαν.
γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψί-
ζυγα προφάταν ἔχοχον
ὀρθόμαντιν Τειρεσίαν. ὁ δέ οἱ
φράζε Ϲ παντὶ στρατῷ
ποίαις ὁμιλήσει τύχαις.

ἀντιστρ. δ'. κώ. ί.

ὅστις μὲν ἐν χέρσῳ κλακών,
ὅστις δ' ἐν πόντῳ θήρας ἀϊδροδίκας·
καί τινα σὺν πλαγίῳ
ἀνδρῶν κόρῳ στείχοντα τ' ἐχθρότατον
φᾶσέ νιν δώσειν μόρον.

καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας γιγάντεσσιν μάχαν
ἀντιάζωσιν, βελέων ὑπὸ ῥιπαῖσι κείνᾳ φαιδίμαν
γαίᾳ πεφύρσεαζ κόμαν

ἐπῳδὸς δ'. κώλων ή.

ἔννεπεν· αὐτὸν μὰν ἐν εἰρήναι τ' ἄπανζα χρόνον ἔχειν ἀεὶ
ἡσυχίαν, καμάτων
μεγάλων ποινὰν λαχόντ' ἐξαίρετον,
ὀλβίοις ἐν δώμασι δεξάμενον
θαλερᾶν Ἥβαν ἄκοιτιν,
Ϲ γάμον δαίσαντα παὰρ Διὶ Κρονίδᾳ,
σεμνὸν αἰνήσειν δόμον.

ΑΝΑ-

ΑΝΑΚΡΕΟΝΤΟΣ

Μέλη τινά.

Εἰς Λύραν.

ΘΕΛΩ λέγειν Ἀτρείδας·
Θέλω ϗ Κάδμον ᾄδειν·
Ἡ βάρβιτος ϗ χορδαῖς
Ἔρωτα μοῦνον ἠχεῖ.
Ἥμεψα νεῦρα πρώτου,
Καὶ τὴν λύρην ἅπασαν·
Κἀγὼ μὲ ἦδον ἆθλους
Ἡρακλέους· λύρη δὲ
Ἔρωτας ἀντεφώνει.
Χαίροιτε λοιπὸν ἡμῖν,
Ἥρωες· ἡ λύρη γὰρ
Μόνους Ἔρωτας ᾄδει.

Τῦ αὐτῦ

Εἰς Ἔρωτα.

Μεσονυκτίοις ποθ' ὥραις,
Στρέφει ὅτ' Ἄρκτος ἤδη
Κατὰ χεῖρα τὴν Βοώτεω,
Μεροπων ϗ φῦλα πάντα

Κέαν, κόπῳ δαμέντα,
Τότ' Ἔρως ὑπεραθεὶς, μευ
Θυρέων ἔκοπτ' ὀχῆας.
Τίς, ἔφην, θύρας ἀράσσει;
Κατὰ μεῦ χίσεις ὀνείρες;
Ὁ δ' Ἔρως, ἄνοιγε, φησί·
Βρέφος εἰμὶ, μὴ φόβησαι·
Βρέχομαι δὲ, πᾶσέλαιον
Κατὰ νύκτα πεπλάνημαι.
Ἐλέησα ταῦτ' ἀκέσας·
Ἀνὰ δ' εὐθὺ λύχνον ἄψας
Ἀνέῳξα, κ βρέφος μὶ
Ἐσορῶ φέροντα τόξον,
Πτέρυγάς τε κ φαρέτρην.
Παρὰ δ' ἰσίην καθίσας
Παλάμαισι χεῖρας αὐτῦ
Ἀνέθαλπον, ἐκ δὲ χαίτης
Ἀπέθλιβον ὑγρὸν ὕδωρ.
Ὁ δ', ἐπεὶ κρύος μεθῆκε,
Φέρε, φησὶ, πειράσωμεν
Τόδε τόξον, εἴ τι μοι νῦν
Βλάβεται βραχεῖσα νευρή.
Τανύει ᾗ, καί με τύπτει
Μέσον ἦπαρ, ὥστερ οἶστρος.
Ἀνὰ δ' ἄλλε κ χάζων,

Πέτε,

Ξένε, δ᾽ εἶπε, συγχάρηθι·
Κέρας ἀβλαβὲς μέν ἐσι,
Σὺ δὲ καρδίην πονήσεις.

Τῦ αὐτῦ

Εἰς ἑαυτόν.

Ἐπὶ μυρσίναις τερείναις,
Ἐπὶ λωτίναις δὲ ποίαις,
Στορέσας θέλω πραπίνειν·
Ὁ δ᾽ Ἔρως χιτῶνα δήσας,
Ὑπὲρ αὐχένος παπύρῳ,
Μέθυ μοι διηκονείτω.
Τροχὸς ἅρμαῖος γὰρ οἷα
Βίοτος τρέχει κυλιθείς·
Ὀλίγη δὲ κεισόμεθα
Κόνις, ὀσέων λυθέντων.
Τί σε δεῖ λίθον μυρίζειν;
Τί δὲ γῇ χέειν μάταια;
Ἐμὲ μᾶλλον, ὡς ἔτι ζῶ,
Μύρισον, ῥόδοις ὐ κρᾶτα
Πύκασον, κάλει δ᾽ ἑταίρους.
Πρὶν, Ἔρως, ἐκεῖ μ᾽ ἀπελθεῖν
Ὑπὸ νεκτέρων χορείας,
Σκεδάσαι θέλω μερίμνας.

Τῦ αὐτῦ

Εἰς Περισερόν.

Ἐρασμίη πέλεια,
Πόθεν, πόθεν πέταται;
Πόθεν μύρων τοσύτων,
Ἐπ' ἤερ Θέουσα,
Πνέεις τε κ ψεκάζεις;
Τίς ἐσί σοι; Μέλει δὲ.
Ἀνακρέων μ' ἔπεμψε,
Πρὸς παῖδα, πρὸς Βάθυλλον,
Τὸν ἄρτι τῶν ἁπάντων
Κρατῦντα Ϲ τύραννον.
Πέπρακέ μ' ἡ Κυθήρη,
Λαβοῦσα μικρὸν ὕμνον.
Ἐγὼ δ' Ἀνακρέοντι
Διηκονῶ τοσαῦτα·
Καὶ νῦν οἵας ἐκείνε
Ἐπισολὰς κομίζω·
Καί φησιν, εὐθέως με
Ἐλευθέριον ποιήσειν.
Ἐγὼ δὲ, κἢν ἀφῇ με,
Δέλη μενῶ παρ' αὐτῷ.
Τί γάρ με δεῖ πέτασθ

Ὄρη

Ορη τε χ' κατ' ἀγρὺς,
Καὶ δένδρεσιν καθίζειν,
Φαγῦσαν ἄχριόν τι;...
Τανῦν ἔδω μὶ ἄρτον
Ἀφαρπάσασα χειρῶν
Ἀνακρέοντος αὐτῦ·
Πιεῖν δέ μοι δίδωσι
Τὸν οἶνον, ὃν προπίνει.
Πιῦσα δ' ἂν χορεύσω,
Καὶ δεσπότιν ἐμοῖσι
Πτεροῖσι συγκαλύψω·
Κοιμωμένη δ' ἐπ' αὐτῷ
Τῷ βαρβίτῳ καθεύδω.
Ἔχεις ἅπαντ', ἄπελθε·
Λαλισέραν μ' ἔθηκας,
Ἄνθρωπε, Ϲ κορώνης.

Τῦ αὐτῦ

Εἰς Ἑαυτόν.

Λέγεσιν αἱ γυναῖκες,
Ἀνακρέων, γέρων εἶ.
Λαβὼν ἔσοπτρον ἄθρει
Κόμας μὶ ὑκέτ' ὔσας,
Ψιλὸν δέ σευ μέτωπον.

Ἐγὼ ἦ τὰς κόμας μὲν,
Εἴτ' εἰσὶν, εἴτ' ἀπῆλθον,
Οὐκ οἶδα· τοῦτο δ' οἶδα,
Ὡς τῷ γέροντι μᾶλλον
Πρέπει τὸ τερπνὰ παίζειν,
Ὅσῳ τέλας τὰ μοίρης.

Τοῦ αὐτοῦ.

Εἰς Ἔρωτα.

Θέλω, θέλω φιλῆσαι,
Ἔπειθ' Ἔρως φιλεῖν με·
Ἐγὼ δ' ἔχων νόημα
Ἄβελον, οὐκ ἐπείθην.
Ὁ δ' εὐθὺ τόξον ἄρας,
Καὶ χρυσέῳ φαρέτρῳ,
Μάχῃ με προὐκαλεῖτο.
Κἀγὼ λαβὼν ἐπ' ὤμων
Θώρηχ', ὅπως Ἀχιλλεὺς,
Καὶ δοῦρα καὶ βοείην
Ἐμαρνάμην Ἔρωτι.
Ἔβαλλ'· ἐγὼ δ' ἔφευγον·
Ὡς δ' οὐκ ἔτ' εἶχ' ὀϊστὸς,
Ἠχάλλεν, εἶθ' ἑαυτὸν
Ἀφῆκεν εἰς βέλεμνον.

Μέσῳ ϗ καρδίης μευ
Ἔδυνε καί μ᾽ ἔλυσε.
Μάτιω δ᾽ ἔχω βαείην·
Τί γὰρ βαλώμεθ᾽ ἔξω,
Μάχης ἔσω μ᾽ ἐχούσης;

Τῷ αὐτῷ

Εἰς ποτήριον ἀργυροῦν.

Τὸν ἄργυρον τορεύσας,
Ἥφαιστε, μοὶ ποίησον,
Πανοπλίαν μὴ ὀχὶ,
Τί γὰρ μάχαισι κἀμοί;
Ποτήριον ϗ κοῖλον,
Ὅσον δύνῃ, βάθυνον.
Ποίει δέ μοι κατ᾽ αὐτὸ,
Μήτ᾽ ἄρκα, μήθ᾽ ἁμάξας,
Μὴ συγνὸν Ὠρίωνα·
Τί Πλειάδεσι κἀμοί;
Τί δ᾽ ἀρκάσιν Βοώτεω;
Ποίησον ἀμπέλους μοι,
Καὶ βότρυας κατ᾽ αὐτὸ,
Καὶ χρυσέους πατοῦντας,
Ὁμῶ καλῷ Λυαίῳ,
Ἔρωτα, ϗ Βάθυλλον.

Τῷ

Τῦ αὐτῦ

Εἰς τὸ δεῖν πίνειν.

Ἡ Γῆ μέλαινα πίνει,
Πίνει ϗ Δένδρε᾽ αὐτλώ·
Πίνει Θάλασσα δ᾽ Ἄνεμος,
Ὁ δ᾽ Ἥλιος Θάλασσαν,
Τὸν δ᾽ Ἥλιον Σελήνη.
Τί μοι μάχεσθ᾽, ἑταῖροι,
Κἀυτῷ θέλοντι πίνειν;

Τῦ αὐτῦ

Εἰς Ἔρωτα.

Αἱ Μῦσαι τ᾽ Ἔρωτα,
Δήσασαι σεφάνοισι,
Τῷ Κάλλει παρέδωκαν·
Καὶ νῦν ἡ Κυθέρεια
Ζητεῖ λύτρα φέρουσα
Λύσασθ᾽ τ᾽ Ἔρωτα.
Κἂν λύσῃ δέ τις αὐτὸν,
Οὐκ ἔξεισι, μένει δέ,
Δουλεύειν δεδίδακ᾽.

Τῦ

Τῦ αὐτῦ

Εἰς ἑαυτόν.

Ἄφες με, τὺς θεύς σοι,
Πιεῖν, πιεῖν ἀμυσί·
Θέλω, θέλω μανῆναι.
Ἐμαίνετ' Ἀλκμαίων τε,
Χὠ λευκόπυς Ὀρέσης,
Τὰς μητέρας κλανόντες·
Ἐγὼ δ' οὐδένα κλαύσας,
Πιὼν δ' ἐρυθρὸν οἶνον,
Θέλω, θέλω μανῆναι.
Ἐμαίνεθ' Ἡρακλῆς πρὶν,
Δεινῶν κλονῶν φαρέτρῳ,
Καὶ τόξον Ἰφίτειον·
Ἐμαίνετο πρὶν Αἴας,
Μετ' Ἀσπίδος κραδαίνων
Τὸν Ἕκτορος μάχαιραν·
Ἐγὼ δ' ἔχων κύπελλον,
Καὶ ζέμμα τῦτο χαίταις,
Οὐ τόξον, ἢ μάχαιραν,
Θέλω, θέλω μανῆναι.

Τῦ

Τῦ αὐτῦ

Εἰς Χελιδόνα.

Σὺ μ̃, φίλη χελιδὼν,
Ἐτησίη μολῦσα,
Θέρει πλέκεις καλιὴν,
Χειμῶνι δ' εἰς ἄφαν[ες,
Ἢ Νεῖλον, ἢ 'πὶ Μέμφιν.
Ἔρως δ' ἀεὶ πλέκει μευ
Ἐν καρδίῃ καλιήν.
Πόθος δ' ὁ μ̃ περῦται.
Ὁ δ' ὠόν ἐσιν ἀκμαίη.
Ὁ δ' ἡμίλεπ[ος ἤδη·
Βοὴ ϗ γίνετ' αἰεὶ
Κεχηνότων νεοτ[ῶν.
Ἐρωτιδεῖς ϗ μικρὲς
Οἱ μείζονες πρέφυσιν·
Οἱ ϗ πραφέντες εὐθὺς
Πάλιν κύεσιν ἄλλυς.
Τί μῆχ[ος ἔν γένη[ι;
Οὐ γὰρ θένω τοσύτυς
Ἔρωτας ἐκβοῆσαι.

Τ᾽ αὐτ᾽

Εἰς Ἔρωτα.

Ἔρως ποτ᾽ ἐν ῥόδοισι,
Κοιμωμένην μέλιτταν
Οὐκ εἶδεν, ἀλλ᾽ ἐτρώθη·
Τὸν δάκτυλον ᾧ δηχθεὶς
Τῆς χειρὸς, ὠλόλυξε,
Δραμὼν ᾧ Ϲ ποταθεὶς
Πρὸς τὴν καλὴν Κυθήρην,
Ὄλωλα, μᾶτερ, εἶπεν,
Ὄλωλα, κἀποθνήσκω·
Ὄφις μ᾽ ἔτυψε μικρὸς
Πτερωτὸς, ὃν καλοῦσι
Μέλιτταν οἱ γεωργοί.
Ἠδ᾽ εἶπεν, Εἰ τὸ κέντρον
Πονεῖ τὸ τῆς μελίττης,
Πόσον, δοκεῖς, πονοῦσιν,
Ἔρως, ὅσους σὺ βάλλεις;

Τ᾽ αὐτ᾽

Εἰς τὰ Ἔρωτος βέλη.

Ὁ ἀνὴρ ὁ τῆς Κυθήρης,

Παρὰ Λημνίαις καμίνοις,
Τὰ βέλη τὰ τῶν Ἐρώτων
Ἐποίει λαβὼν σίδηρον.
Ἀχίδας δ' ἔβαπτε Κύπρις,
Μέλι τὸ γλυκὺ λαβοῦσα,
Ὁ δ' Ἔρως χολὴν ἔμισγεν.
Ὁ δ' Ἄρης ποτ' ἐξ αὐτῆς,
Στιβαρὸν δόρυ κραδαίνων,
Βέλος ηὐτέλιζ' Ἔρωτος.
Ὁ δ' Ἔρως, Τόδ' ἐστιν, εἶπε,
Βαρύ· πειράσας νοήσεις.
Ἔλαβεν βέλεμνον Ἄρης·
Ὑπεμειδίασε Κύπρις·
Ὁ δ' Ἄρης ἀνασεναξας,
Βαρὺ, φησὶν, ἄρον αὐτό.
Ὁ δ' Ἔρως, Ἔχ' αὐτὸ, φησίν.

Τοῦ αὐτοῦ

Εἰς Ἔρωτα φιλοχερδῆ.

Χαλεπὸν τὸ μὴ φιλῆσαι,
Χαλεπὸν ἢ φιλῆσαι·
Χαλεπώτερον δὲ πάντων
Ἀποτυγχάνειν φιλοῦντα.
Γένος ἐδὲν εἰς Ἔρωτα·

Σοφίη, τρόπῳ, πατεῖται·
Μόνον ἄργυρον βλέπουσιν.
Ἀπόλοιτο πρῶτος αὐτὸς
Ὁ τ' ἄργυρον φιλήσας.
Διὰ τοῦτον οὐκ ἀδελφὸς,
Διὰ τοῦτον ὐ τοκῆες·
Πόλεμοι, φόνοι δι' αὐτόν.
Τὸ δὲ χεῖρον, Ὀλλύμεθα
Διὰ τοῦτον οἱ φιλοῦντες.

Τοῦ αὐτοῦ

Εἰς ῥόδον.

Στεφανηφόρε μετ' ἦρος
Μέλπομαι ῥόδον θέρειον·
Σὺν, ἑταῖρ', ἄεξε μολπάν.
Τόδε γὰρ θεῶν ἄημα,
Τόδε χ βροτῶν τὸ χάρμα,
Χάρισίν τ' ἄγαλμ', ἐν ὥραι
Πολυανθέων ἐρώτων·
Ἀφροδίσιόν τ' ἄθυρμα.
Τόδε Ϲ μέλημα μύθοις,
Χαρίεν φυτόν τε Μουσέων·
Γλυκὺ Ϲ ποιοῦντι πεῖραν
Ἐν ἀκανθίναις ἀταρποῖς·

Γλυκὺ

Γλυκὺ δ' αὖ λαβόντι θάλπτειν
Μαλακαῖσι χερσὶ κἀφῶς
Προσάγοντ' Ἔρωθ' ἁθ'.
Ὡς σοφῷ τόδ' αὐτὰ τερπνὸν
Θαλίαις τε καὶ ἑταίραις,
Διονυσίαις θ' ἑορταῖς.
Τί δ' ἄνευ ῥόδε γένοιτ' ἄν;
Ῥοδοδάκτυλ' ἠὼς,
Ῥοδοπήχεες δὲ Νύμφαι.
Ῥοδόχρους ἣ Καφροδίτη
Παρὰ τῶν σοφῶν καλεῖται.
Τόδε καὶ νοσοῦσιν ἀρκεῖ,
Τόδε καὶ νεκροῖς ἁρμόζει
Τόδε δ' χρόνον βιᾶται.
Χαρίεν ῥόδων ἣ γῆρας
Νεότητ' ἔχειν ὁμιλεῖ.
Φέρε δὴ, φυλλὰ λέγωμεν.
Χαροπῆς ὅτ' ἐκ θαλάττης
Δεδροσωμένῃ Κυθήρῃ
Ἐλόχευε Πόντ' ἀφρῷ,
Πολεμόκλονόν τ' Ἀθήνην
Κορυφῆς ἐδείκνυε Ζεύς,
Φοβερὰν θέαν Ὀλύμπῳ·
Τότε δ' ῥόδων ἀγητῶν
Νέον ἔρν' ἤνθισε Χθὼν

Πολυ-

Πολυδαίδαλον λόχθυμα.
Μακάρων θεῶν δ' ὅμιλος,
Ῥόδον ὡς γένοιτο, Νέκταρ
Ἐπιτέγξας, ἀνέτειλεν
Ἀγέρωχον ἐξ ἀκάνθης
Φυτὸν ἄμβροτον Λυαίου.

Τῦ αὐτῦ

Πρὸς τὸν ζωγράφον, περὶ τῆς ἑαυτῦ ἐρωμένης.

Ἄγε, ζωγράφων ἄριστε,
Γράφε, ζωγράφων ἄριστε,
Ῥοδίης κοίρανε τέχνης,
Ἀπεῖσαν, ὡς ἂν εἴπω,
Γράφε τιὼ ἐμιὼ ἑταίρῃ.
Γράφε μοι τρίχας τοπρῶτον
Ἀπαλάς τε μελαίνας·
Ὁ ᾧ κηρὸς ἂν δύνηται,
Γράφε μύρῳ πνεούσας·
Γράφε δ' ἐξ ὅλης παρειῆς,
Ὑπὸ πορφυραῖσι χαίταις,
Ἐλεφάντινον μέτωπον.
Τὸ μεσόφρυον δὲ μή μοι
Διάκοπτε, μήτε μίσγε·

Ἐχέτω δ', ὅπως ἐκείνη,
Τὸ λεληθότως σύνοφρυ,
Βλεφάρων δ' ἴτυν κελαινήν.
Τὸ ᾗ βλέμμα νῦν ἀληθῶς
Ἀπὸ τᾶ πυρὸς ποίησον,
Ἅμα γλαυκὸν, ὡς Ἀθήνης,
Ἅμα δ' ὑγρὸν, ὡς Κυθήρης.
Γράφε ῥῖνα Ϲ παρειὰς,
Ῥόδα τῷ γάλακτι μίξας·
Γράφε χεῖλο, οἷα Πειθῦς,
Προκαλύμμιον φίλημα.
Τρυφερᾷ δ' ἔσω γενείᾳ,
Περὶ Λυγδίνῳ τραχήλῳ,
Χάριτες πέτοιντο πᾶσαι.
Στόλισον τολοιπὸν αὐτὰν
Ὑποπορφύροισι πέπλοις·
Διαφαινέτω ᾗ σαρκῶν
Ὀλίγον, τὸ σῶμ' ἐλέγχον.
Ἄπεχε· βλέπω γὰρ αὐτήν·
Τάχα, Κηρὲ, Ϲ λαλήσεις.

Τᾷ αὐτᾷ

Εἰς Τέτιγα.

Μακαρίζομέν σε, τέτιξ,
Ὅτι δενδρέων ἐπ' ἄκρων,

Ὀλίγην

Ὀλίγλω δρόσον πεπωκὼς,
Βασιλεὺς ὅπως, ἀείδεις·
Σὰ γάρ ἐσι κεῖνα πάντα,
Ὁπόσα βλέπεις ἐν ἀγροῖς
Χὡπόσα φέρουσιν ὧραι.
Σὺ γὰρ εἶ φίλος γεωργῶν,
Ἀπὸ μηδενός τι βλάπλων
Σὺ δὲ τίμιος βροτοῖσι,
Θέρεος γλυκὺς προφήτης.
Φιλέυσι μέν σε Μῦσαι,
Φιλέει δ' Ἀπόλλων αὐτὸς,
Αἰγυρλὼ δ' ἔδωκεν οἰμλω.
Τὸ δ' γῆρας ἕ σε τέρει.
Σοφὲ, γεγενὴς, φίλυμνε,
Ἀπαθὴς, ἄναμ' ἄσαρκε,
Σχεδὸν εἶ θεοῖς ὅμοιος.

ΘΕΟΚΡΙΤΟΥ

Εἰς νεκρὸν Ἄδωνιν.

Ἄδωνιν ἡ Κυθήρη
Ὡς εἶδε νεκρὸν ἤδη,
Στυγνὼ ἔχουζα χαίταν,
Ὠχρήν τε τὼ παρειὰν,
Ἄγειν τ' ὖν πρὸς αὐτὼ
Ἔταξε τὼς Ἐρωζας.
Οἱ δ' εὐθέως ποτανοὶ
Πᾶσαν δραμόντες ὕλαν,
Στυγνὸν τ' ὖν ἀνεῦρον,
Δῆσάν τε, κἀπέδησαν·
Χὠ μὲ, βρόχῳ καθάψας,
Ἔσυρεν αἰχμάλωτον·
Ὁ δ', ἐξόπιθ' ἐλαύνων,
Ἔτυπ[ε τοῖσι τόξοις·
Ὁ θὴρ δ' ἔβαινε δειλῶς.
Φοβεῖτο γὰρ Κυθήρω.
Τῷ δ' εἶπεν Ἀφρόδιτα,
Πάν[ων κάκιςε θηρῶν,
Σὺ τόνδε μηρὸν ἴψω;
Σὺ μεῦ τ' ἄνδρ' ἔτυψας;
Ὁ θὴρ δ' ἔλεξεν ὧδε,

Ὄμνυ-

Ὄμνυμί σοι, Κυθήρη,
Αὐτλῶ σε χ᾽ τ᾽ ἄνδρα,
Καὶ ταῦτά μοι τὰ δεσμὰ,
Καὶ τώσδε τὼς κυναγὼς,
Τὸν ἄνδρα τ᾽ καλόν σοι
Οὐκ ἤθελον πατάξαι·
Ἀλλ᾽ ὡς ἄγαλμ᾽ ἐσεῖδον,
Καὶ, μὴ φέρων τὸ καῦμα,
Γυμνὸν, τ᾽ εἶχε, μηρὸν
Ἐμμαινόμιν φιλᾶσαι·
Καί μοι κατεσίναζε.
Τέτυς λαβοῦσα, Κύπρι,
Τέτυς κόλαζε, τέμνε,
(Τί γὰρ φέρω πλειστὺς;)
Ἐρωτικὺς ὀδόντας.
Εἰ δ᾽ ἔχί σοι τάδ᾽ ἔρκει,
Καὶ ταῦτ᾽ ἐμεῦ τὰ χείλη.
Τὸν δ᾽ ἠλέησε Κύπρις,
Εἶπέν τε τοῖς Ἔρωσι,
Τὰ δεσμὰ οἱ πιλῦσαι.
Ἐκ τῶδ᾽ ἐπηκολούθει
Ὕλιν δ᾽ ἔτ᾽ οὐκ ἔβαινε,
Καὶ τῷ πυρὶ προσελθὼν
Ἔκαιε τὼς ἔρωτας.

ΣΑΠΦΟΥΣ ΑΣΜΑ

Εἰς Ἀφροδίτην.

Ποικιλόθρον' ἀθάνατ' Ἀφροδίτη,
Παῖ Διὸς, δολοπλόκε, λίσσομαί σε,
Μή μ' ἄσαισι μηδ' ἀνίαισιν δάμνα
Πότνια θῦμον.
Ἀλλὰ τυΐδ' ἔλθ', αἴποκα κατερῶτα
Τᾶς ἐμᾶς αὐδῶς ἀΐοισα πόλλυ
Ἔκλυες, πατρὸς δ' ἦ δόμον λιπῆσα
Χρύσεον, ἦλθες,
Ἄρμ' ὑποζεύξασα· κάλοι δέ σ' ἆγον
Ὠκέες στρυθοὶ, περὶ γᾶς μελαίνας
Πυκνὰ δινεῦντες πτέρ' ἀπ' ὤρανῦ ἀθέ-
ρος διὰ μέσσω·
Αἶψ' ἀλλ' ἐξίκοντο· τὺ δ', ὦ μάκαιρα,
Μειδιάσασ' ἀθανάτῳ προσώπῳ,
Ἤρε' ὄττι δ' ἦν τὸ πέπονθα, κ' ὄττι
Δῆθ' ἔτε κάλημμι·
Κ' ὄττι' ἐμῷ μάλιστα θέλω γενέσθαι
Μαινόλᾳ θύμῳ· τίνα δ' αὖτε πείθημι-
μι σαγηνέσαν φιλότατα· τίς σ', ὦ
Σαπφοῖ, ἀδικῆ;

Καὶ

Καὶ γὰρ εἰ φεύγῃ, ταχέως διώξει·
Αἰ δὲ δῶρα μὴ δέκετ', ἀλλὰ δώσει·
Αἰ δὲ μὴ φιλῆι, ταχέως φιλήσει,
Χ' ὅτ|ι κελεύης.
Ἔλθέ μοι Ϲ νῦν, χαλεπᾶν ϗ λῦσον
Ἐκ μερμνᾶν, ὅσα δέ μοι τελέσσαι
Θῦμϙ ἱμέρρει, τέλεσον, σὺ δ' αὐτὰ
Σύμμαχϙ ἔσσο.

Τῆς αὐτῆς

Εἰς Κόρλω.

Φαίνεταί μοι κῆνϙ ἴσϙ θεοῖσιν
Ἔμμεν ὠνὴρ, ὅσις ἐναντίϙ τοι
Ἰζάνει, χ ϖλασίον ἀδὺ φωνεύ-
σας ὑπακούει,
Καὶ γελώσας ἱμερόεν, τό μοι τὰν
Καρδίαν ἐν ϛήθεσιν ἐπλόασεν.
Ὡς γὰρ εἴδω σε, βροχέας με φώνας
Οὐδὲν ἔθ' ἦκει·
Ἀλλὰ καμμεῦ γλῶσσα σέσιγε, λεπτὸν δ'
Αὐτίκα χρῶ ϖῦρ ὑποδεδρόμακεν,
Ὀππάτεσσιν δ' οὐδὲν ὄρηπι, βομβεῦ-
σιν δ' ἀκοαί μοι.

Καδδ' ἱδρὼς ψυχρὸς χέε῀, τρόμος δὲ
Πᾶσαν ἀγρεῖ· χλωροτέρη δὲ πόας
Ἐμμὶ, τεθνάκην δ' ὀλίγω 'πιδεῦσα
Φαίνομαι ἄπνυς.

ΑΡΙΦΡΩΝΟΣ

Εἰς Ὑγίειαν Παιάν.

Ὑγίεια πρεσβίσα μακάρων,
Μετὰ σεῦ ναίοιμι
Τὸ λειπόμμον βιοτᾶς.
Σὺ δέ μοι πρόφρων σύνοικος εἴης.
Εἰ γάρ τις ἢ πλούτῳ χάρις ἢ τεκέων,
Τᾶς εὐδαίμονός τ' ἀνθρώποις
Βασιληΐδος ἀρχᾶς, ἢ πόθων,
Οὓς κρυφίοις Ἀφροδίτης ἄρκυσιν θηρεύομμι,
Ἤ εἴτις ἄλλα θεόθεν ἀνθρώποις τέρψις,
Ἢ πόνων ἀμπνοὰ πέφανε,
Μετὰ σεῖο, μάκαιρα Ὑγίεια,
Τέθηλε πάντα, κ λάμπει χαρίτων ἔαρ,
Σέθεν ὃ χωρὶς, ἀδεὶς εὐδαίμων πέλει.

ΑΡΙΣΤΟΤΕΛΟΥΣ

Εἰς Ἀρετώ.

Ἀρετὰ πολύμοχθε,
Γένει βροτείῳ
Θήραμα κάλλιστον βίῳ·
Σᾶς περὶ, παρθένε, μορφᾶς
Καὶ θανεῖν ζηλωτὸς Ἑλλάδι πότμος,
Καὶ πόνες τλῆναι μαλερὲς ϗ ἀκάμαντας·
Τοῖον ἐπὶ φρένα βάλλεις
Καρπόντ' ἀθάνατον,
Χρυσᾶ τε πρέσσονα ϵ γονέων,
Μαλακαυγητοῖο θ' ὕπνε.
Σᾶ δ' ἕνεκ' ἐκ Διὸς Ἡρακλέης
Λήδας τε πῦροι
Πολλ' ἀνέτλασαν,
Ἔργοις σὰν ἀγορεύοντες δύναμιν.
Σοῖς ϔ πόθοις Ἀχιλλεὺς,
Αἴας τ' αἰδαο δόμους ἦλθον·
Σᾶς δ' ἕνεκεν φιλίᾳ μορφᾶς
Ἀταρνέως ἔντροφος
Ἀελίᾳ χήρωσεν αὐγάς·
Τοίγαρ ἀοίδιμος ἔργοις,

Ἀθάνατοί τέ μιν αὐξήσεσι Μοῦσαι
Μνημοσύνας θύγατρες,
Διὸς ξενίε σέβας αὔξεσαι,
Φιλίας τε γέρας βεβαίε.

Ω Δ Η

Εἰς τὸν τοῦ Χριστοῦ σταύρωσιν.

ΑΛΙΣ Ἐνθέου φλυάρου·
Ἄμειβε, Μοῦσα, χορδὰς,
Καὶ βάρβιτον λαβοῦσα,
Σεμνὸν κρότησον ὕμνον
Σταυρωμένῳ Ἀνακτι.
Ὦ θαυμάτων ἄπληστε
Θησαυρὲ, κ' ἀπέραντε·
Τί σοὶ, τί πρῶτον εἴπω;
Θέλω λέγειν ἀνέκφατον βροτοῖσι,
Μακάρεσί τε Δαίμοσι χεῖφον,
Πῶς Θεὸς ὢν ἔθανες·
Θέλω λέγειν ἀνιχνίαστα βένθη
Ἐλέου, ὅτι λύτρον ὑπ' ἐχθρῶν
Υἱὸν ἔδωκε Πατήρ·
Θέλω ὑψόθ' αὔσαι
Θέσφατον θρίαμβον
Τριημέροιο νεκροῦ,
Καὶ αἰχμάλωτον Ἅδην,
Καὶ Θάνατον θανάτῳ δαμέντα,
Ἀλλά μοι ἀμφιβρέμει Κρανίων ὄρος,

Καὶ

Καὶ πολύθρυ κελάδυ γέμει ἄζα
Ὀλλύντων, ὀλλυμένων τε.
Ἐκθόρετ' ἐς λόφον, ὄμματα·
Τίς μέσυ κρέμαται χιῶν,
(Ὡς ἁδὲν δυσὶν ἴκελυ,)
Ἐκ ἐτάθη τελάζυγι πρέμνῳ,
Πρῆϋ κάρηνον
Ἠδέως κεκυφὼς,
Καὶ ὠλενῶν ἱερὸν κρᾶτυ
Ἐγκάρσιον πετάσας,
Νηλέεσσι γόμφοις
Πεπαρμένον ἔνθα κ' ἔνθα;
Ἄνθρωπε τάλαν, ταῦτ' ἀπαθὴς βλέπεις;
Οἴμωζε πολλὰ,
Ἐθῆτα ῥῆξον,
Καὶ τύπτε στέρνον,
Καὶ τίλλε χαίτην,
Καὶ σπλάγχνα κινῦ·
Ἢ ἐχ ὁράας ὁλοπόρφυρον,
Στίλβοντ' ἐ φλογὶ
Σιδονίης ἁλὸς, ἁλ-
-λ' αἵματι ζαζομένῳ,
Τῷ μὶ ἀπὸ κροτάφων
Κυκλυμένων ἀκάνθης
Ὀξυσόμοισι κυρσῖς,

Τῷ

Τῷ δὲ χ᾽ ἐκ μελέων
Κεχαραγμένων ἱμάθλης
Πικρῇσι συμπλοκῇσι;
Ἄνοιγ᾽, ἄνοιγε
Πύλας ὀπωπῶν·
Καὶ πηγὰς βλεφάρων
Λύσαι· Ψέκαζε, δεῦε γαῖαν·
Σὺν τῷ ἀφειδῶς
Ἐὸν αἷμα χέαν-
-τ᾽ ὀλίγ᾽ ἄτα λείβειν δάκρυα
Τίς φθόνος, ὦ βροτέ;

INDEX

Autorum & Poematum.

A Pag.

Anacreontis *Odæ quædam*, 81.

Ariphronis *Hymnus ad Salutem*, 103.

Ariſtotelis *Hymnus ad Virtutem*, 104.

B

Bionis, *Idyl.* I. II. III. 33.

C

Callimachi *Hymnus ad* Jovem, 57.

Ejuſdem ad Apollinem, 61.

H

Heſiodi *de ætatibus*, 1.

M

Maſters. *Ode in* Chriſtum *Crucifixum*, 106.

Moſchi *Amor fugitivus*, 31.

Muſæi *de* Herone & Leandro, 39.

P

Pindari *Olymp. Ode* II. 66.

Ejuſdem Nem. Ode I. 75.

Pythagoræ *aurea Carmina*, 53.

S

Sapphûs *Odæ*, 100.

T

Theocriti, *Idyl.* I. XIX. XXIII. VI. XXVIII. III. VIII. IX. XI. XVI. 5. *Idyl.* XXX. 98.

Ejuſdem Anacreontium, 81.

FINIS.

BOOKS *printed for* W. GINGER.

HEbraicæ Grammatices Rudimenta.
Toſſani Lexicon, Hebraicum, 8vo.
Leuſden's Hebrew Pſalter, 12mo.

Grammatica Buſbeiana, Auctior & Emendatior, i. e. Rudimentum Grammaticæ Græco Latinæ Metricum.

Græcæ Grammaticæ Compendium.

Εκ των περι Σωκρατους.

Epigrammatum Græcorum ex Ἀνθολογίᾳ editâ, MS. Bodleianâ, aliiſque Autoribus Delectus.

Plutarchi Apophthegmata, Luciani Dialogi quatuor, Prodici Allegoria ex Xenophonte, Iſocratis oratio ad Demonicum, et Cebetis Thebani Tabula.

Tragœdiæ Græcæ tres; Æſchyli Choëphoræ, Electra Sophoclis, & Electra Euripidis.

Xenophontis de Cyri Inſtitutione Libri Octo. Græca recognovit, cum Codice MS. Oxonienſi & omnibus ferè libris Editis contulit, plurimis in locis emendavit, Verſionem Latinam reformavit, Obſervationibus ſuis, Tabulaque Geographica auxit & illuſtravit; Notas H. Stephani, Leunclavii, Æ. Porti & Mureti recenſitas & caſtigatas, variantium Lectionum delectum, Indiceſque neceſſarios adjunxit Thomas Hutchinson, *A. M.* Editio Sexta.

Sophoclis Tragœdiæ ſeptem, Scholiis veteribus illuſtratæ: Cum Verſione & Notis Thomæ Johnsoni. Accedunt variæ lectiones, & emendationes virorum doctorum undecunque collatæ. Duobus Voluminibus.

Poematia, Latinè partim reddita, partim ſcripta: à V. Bourne. Collegii Trinitatis apud Cantabrigienſes aliquando Socio. Quintò Edita.

Sacred Exerciſes. In four Books. Compiled for the Uſe of Places of Education, particularly Weſtminſter-School. The Third Edition.